πυρὰν Ἀχιλλέως· κτείνετε, ἐπείπερ αὐτὸ ἤκουσαν, ὡς οὐκ αὐτοῦ, ἀλλὰ τοῦ θυγατέρα Ἀχιλλεῖ ἠτήσατο, φησί· ὑμεῖς δὲ ἐπεὶ οὐ βουλεσθε ἐμὲ μόνον ἀποκτεῖναι, ἀλλὰ σὺν τῇ θυγατρὶ φονεύσετε. Ἄλις σῆς) ἱκανῶς ἔχει ὁ θάνατος τῆς σῆς θυγατρός, οὐκ ἄξιον φεοσενεχθῆναι, καὶ ἕτερον σφαγάσαι, εἴθε μὴ δὲ τόνδε ὠφείλομεν ποιεῖσθαι. Πολλὴ γ' ἀνάγκη) ἀνάγκη δεῖ σωθανεῖν με ἢ θυγατρί. Πῶς) πῶς λέγεις σωθανεῖν. οὐ γὰρ οἶδα, ὅτι κέκτημαι δεσπότας σε, τοῦτο με πείσαι ἀναγκάσοντα. Ὁποῖα κιττὸς) ὥσπερ ὁ κιττὸς ἔχεται τοῦ δρυός, οὕτως ἕξομαι αὐτῆς. Οὐκ) οὐχ ἕξῃ οὐ πειθόμενος τοῦτο, τὸ ἕξεσθαι δηλονότι τῆς θυγατρός, ἢ τῷ πείθῃ τοῖς φρονιμωτέροις σου. Οὐ μεθήσομαι) γίνωσκε ὅτι οὐκ ἀποστήσομαι τῆς παιδὸς, οὐδὲ ἀπολύσω αὐτὴν ἑκοῦσα τῆς.

Οδ. Ἀλλ' οὐδ' ἐγὼ μιν τήνδ' ἄπειμ' αὐτὸς λιπών.
Πο. Μῆτερ, πιθοῦ μοι. καὶ σὺ παῖ Λαερτίου
Χάλα τοκεῦσιν εἰκότως θυμουμένοις.
Σὺ δ' ὦ τάλαινα τοῖς κρατοῦσι μὴ μάχου.
Βούλει πεσεῖν φεὸς ἅδας, ἑλκῶσαί τε σὸν 405
Γέρον τε χρῶτα, φεὸς βίαν ὠθουμένη,
Ἀχρεῖον ἥσαί τ' ἐκ νέου βραχίονος
Σπασθεῖσ'; ἃ πείσῃ μὴ σύ γ'. οὐ γὰρ ἄξιον.
Ἀλλ' ὦ φίλη μοι μῆτερ, ἡδίστην χέρα
Δὸς, καὶ παρειὰν φεοσβαλεῖν παρηΐδι. 410
Ὡς οὔποτ' αὖθις, ἀλλὰ νῦν φανύσαιμι,
Ἀκτῖνα, κύκλον θ' ἡλίου φεοσόψομαι.
Τέλος δέχου δὴ τῆς ἐμῆς φεοσφθεγμάτων.
Ὦ μῆτερ, ὦ τεκοῦσ', ἄφειμι δὴ κάτω.

Vl. Sed neque ego ipsam hanc abibo hîc relinquens.
Pol. Mater ausculta mihi: & tu fili Laertis
Remissior sis parentibus iure commotis ad iram.
Tu verò ô misera cum victoribus ne pugna.
An vis cadere in terram, ac sauciare tuum 405
Senile corpus per vim protrusa?
Et dedecorari iuuenili brachio
Auulsa? quæ patiaris tu nequaquam. Non enim decet.
Sed ô chara mihi mater dulcissimam manum
Porrige, & genam iunge genæ: 410
Quoniam nunquam iterum, sed nunc postremum
Iubar orbémque solis aspiciam.
Finem accipe iam mearum compellationum.
O mater, ô quæ me peperisti, abeo ad inferos.

Ἀλλ' οὐδ' ἐγὼ ἀπολείσομαι ἀπολιπὼν τήνδε. Μῆτερ πιθοῦ μοι) ὦ μήτηρ πείθηταί μοι, καὶ σὺ Ὀδυσσεῦ ἀνδίδου τοῖς χρήσιμοσιν ὀργιζομένοις πρεπόντως. σύτε ὦ ἀθλία τοῖς ἄρχουσι μὴ πολέμει. θέλεις ποιεῖν φεὸς τὸ ἔδαφος τραυματίσαι τὸν σὸν γεροντικὸν σῶμα, βιαίως ἀποπεμπομένη, καὶ ἀθυμαθεῖναι ὑπὸ νεανικοῦ βραχίονος ἀπαρεγθεῖσα, καὶ συρεῖσα, καὶ σύ γε πάθῃς τοῦτο. οὐ γὰρ ἄξιον παθεῖν. ἀλλ' ὦ φεοσφιλὴς μῆτερ, δός μοι τὴν γλυκυπάτην σου

χίεσα, καὶ τὼ παρειὰ προσερεῖσαι τῇ ἐμῇ παρειᾷ, οὐκ οὐ μεταζοῦσα, ἀλλὰ νῶτα τὸν λυπαῖον θιάσομαι τὸν κύκλον τοῦ ἡλίου. τέλος δὴ λαμβάνεις τοῦ ἐμοῦ προσαγορεύσεως καὶ λαλιῶν. ὦ μῆτερ, ὦ τεκοῦσα, ἀπέρχομαι εἰς τὸν ἅδου ἀνύμφευτος καὶ ἄμοιρος Υμεναίων, ὧν ἔπρεπεν ἐμὲ λαχεῖν διλονότι, ὦ θύγατερ, ἐγὼ δὲ δουλεύσω τῇ παρούσῃ ζωῇ.

Εκ. Ω θύγατερ, ἡμεῖς δ' ἐν φάει δουλεύσομεν. 415
Πο. Ανυμφ', ἀνυμέναι', ὧν μ' ἐχρῆν τυχεῖν.
Εκ. Οἰκτρὰ σὺ τέκνον, ἀθλία δ' ἐγὼ γυνή.
Πο. Εκεῖ δ' ἐν ἅδου κείσομαι χωρὶς σέθεν.
Εκ. Οἴμοι τί δράσω; ποῖ τελευτήσω βίου;
Πο. Δούλη θανοῦμαι, πατρὸς ὤν' ἐλευθέρου. 420
Εκ. Ημεῖς δ', πενταήκοντ' ἄμοιροι δὴ τέκνων.
Πο. Τί σοι πρὸς Εκτορ' ἢ γέροντ' εἰπω πόσιν;
Εκ. Αγγελλε, πασῶν ἀθλιωτάτην ἐμέ.
Πο. Ω στέρνα, μαστοί θ', οἱ μ' ἐθρέψαθ' ἡδέως.
Εκ. Ω τῆς ἀώρου θύγατερ ἀθλίας τύχης. 425
Πο. Χαῖρ' ὦ τεκοῦσα, χαῖρε Κασσάνδρα τ' ἐμή.
Εκ. Χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστι χαρά.

Hec. O filia, nos verò in luce seruiemus. 415
Pol. Expers connubij, expers nuptiarum quibus me conueniebat potiri.
Hec. Miseranda tu filia: infelix verò ego mulier.
Pol. Illic verò apud inferos iacebo absque te.
Hec. Hei mihi quid faciam? vbi finiam vitam?
Pol. Serua moriar, patre cùm sim libero. 420
Hec. Nos verò quinquaginta orbæ sanè liberis.
Pol. Quid tibi ad Hectorem aut senem dicam maritum?
Hec. Nuntia omnium miserrimam me.
Pol. O pectora & mamillę quæ me nutriuistis suauiter.
Hec. O intempestiuam filiæ miseram fortunam. 425
Pol. Vale ô mater, vale Cassandráque mea.
Hec. Valent alii: matri verò non est valetudo.

Οἴμοι τί δράσω) οἴμοι τί ποιήσω, εἰς ποίαν τύχην καταντήσω, ποῖον τέλος ἔχω τοῦ βίου, ποῦ πληρώσω τὸν βίον. Δούλη θανοῦμαι) οὖσα παῖδες ἐλευθέρου, ἤτοι βασιλέως. ἐλεύθερος κατ' ψυχήν, καὶ ἐλεύθερος κατ' σῶμα, ὁ καλῶς ἀνατραφεὶς, ἤτοι ἀτυχὴς, καὶ ἐλευθερίως. ὁμοίως καὶ δοῦλος. καὶ ὁ δὴ μὴν τοῦ σώματος, ὁ ἐωνημένος ὅτι ὁ ψυχῆς, ὁ κόλαξ, ἀπελεύθερος, ὁ, ὁ δρυμωνήτης μὴν πρῶτον, εἶτα ἐλευθερωθείς. ὁ ὁ ἐλευθερώσας αὐτὸν πάτρων, καὶ κλίνεται πάτρωνος. Ημεῖς δὲ) ἡμεῖς δὲ ἄμοιροι καὶ ἑστερημένοι πενταήκοντα τέκνων. δεκαεννέα ἐγένοντο αὐτῷ. αὔξουσα δὲ τὸ πάθος ἤ λέγει, ἢ ὅτι συμπαραλαμβάνει καὶ πρὸς νόθοις τοῦ Πριάμου παῖδας τοῖς πρὸ ἑαυτῆς, διὰ τὸν διάθεσιν τοῦ αἰδρός. Τί σοι πρὸς Εκτορα) τί βούλει ἵνα εἴπω ἕνεκα σοῦ πρὸς τὸν Εκτορα, ἢ πρὸς τὸν γέροντα Πρίαμον τὸν σὸν ἄνδρα. μιμνῦε πασῶν γυναικῶν ἀθλιωτάτην. Ω στέρνα) προεκπεκομμένη τὸν μητέρα, τοῦτα φησὶν, ὦ τῆς πρὶν τοῦ πρεσβύτατος καιροῦ ἀθλίας τύχης. Χαῖρ' ὦ τεκοῦσα, χαῖρε Κασσάνδρα τ' ἐμοὶ) τὸ ἐμοὶ, οὐ πρὸς τὸ Κασσάνδρα

ὄζιν. εἰ γὰρ ἐν οὕτω, διὰ τὸ ἢ ὤφειλε γεγράφεσθαι. ἀλλὰ πρὸς τὸ χαῖρε. σιωπᾷ δὲ καὶ πρὸς ἀμφότερα, χαῖρε μοι ὦ τεκοῦσα. καὶ χαῖρε μοι ὦ Κασσάνδρα. Χαίρουσιν ἄλλοι) μητρὶ δὲ οὐκ ἔστι τὸ χαίρειν διλονότι. χαῖρε καὶ ὁ ἐμὸς ἀδελφὸς Πολύδωρος, ὁ ὑπάρχων ἐν τοῖς ἱππικοῖς Θρᾴξιν.

Πο. Ο, τ' ἐν Φιλίπποις Θρᾳξὶ Πολύδωρος κάσις.
Εκ. Εἰ ζῇ γ'. ἀπιστῶ δ'. ὧδε πάντα δυστυχῶ.
Πο. Ζῇ, καὶ θανούσης ὄμμα συγκλείσει τὸ σόν. 430
Εκ. Τέθνηκ' ἔγωγε, πρὶν θανεῖν, κακῶν ὕπο.
Πο. Κομίζ' Οδυσσεῦ μ' ἀμφιθεὶς κάρα πέπλοις.
Ως πρὶν σφαγῶ αἰ γ' ἐκτέτηκα καρδίαν
Θρηνοῦσι μητρὸς, τὸν δ' ἔτ' ἐκτήκω γόοις.
Ω φῶς· προσφπεῖν γὰρ σὸν ὄνομ' ἔξεστί μοι. 435
Μέτεστι δ' οὐδὲν, πλὴν ὅσον χρόνον ξίφους
Βάλλω μεταξὺ, καὶ πυρᾶς Αχιλλέως.
Εκ. Οἰ ἐγὼ προλείπω. λύεται δέ μου μέλη.
Ω θύγατερ, ἅψαι μαστοῦ. ἔκτεινον χέρα.
Δός. μὴ λίπῃς μ' ἄπαιδ' ἀπολομένου φίλαι. 440
Ως τὸν Λάκαιναν σύγγονον Διοσκόρων
Ελένην ἴδοιμι. διὰ καλῶν γὰρ ὀμμάτων
Αἴσχιστα Τροίαν εἶλε τὸν εὐδαίμονα.

Pol. Et in equestribus Thracibus Polydore frater.
Hec. Si viuit modò, dubito verò: adeo per omnia infeliciter ago.
Pol. Viuit: & morientis oculum claudet tuum. 430
Hec. Mortua sum ego certè ante mortem præ miseriis.
Pol. Aufer me ô Vlysses circumponens caput vestibus.
Nam priusquam macter, contabefacta sum in corde
Luctibus matris, hanc insuper tabefacio fletibus.
O lux: alloqui enim tuum nomen licet mihi, 435
Sed nulla mihi copia tui est, nisi quantum temporis gladium
Incedo inter, & tumulum Achillis.
Hec. Heu mihi, deficio, soluuntur mihi membra.
O filia prehende matrem, extende manum,
Da, ne relinquas me orbam liberis: perij ô amicæ. 440
Vtinam Lacedæmoniam sororem Dioscurorum
Helenam videam. per pulchros enim oculos
Turpissimè Troiam euertit felicem.

Εἰ ζῇ γε) χαιρήσεται διλονότι. ἀπιστῶ δὲ, ὅτι οὕτω κατ' πάντα δυστυχῶ. Κόμιζ' Οδυσσεῦ) πρὶν κατακαλύψας τὸν κεφαλὴν ἱματίῳ, ὅτι πρὸς τὸ σφαγῶ αἰ ἐκτέτηκα τὸν καρδίαν. Κάρα) κορυφὴς μὴν ἡ κεφὰς λέγεται, τῆς κεφαλῆς. ἡ δὲ τραχηλία καὶ τὸ κράτα λέγει οὐδετέρως, ὡς τὸ κάρα. ἡ δὲ κάρα, τῶν νεωτέρων ἐστὶν. Εκτέτηκα) κυρίως τὸ τήκεσθαι ὅτι χρόνος λέγεται, καὶ κηροῦ, καὶ τῶν κατ' ὀλίγον ἀναλισκομένων. καὶ ἀπὸ τούτου ὅτι τῶν καταπιπτόντων ὑπὸ λύπης, καὶ διαρρεομένων. Ω φῶς] προσφπεῖν γὰρ τὸ σὸν ὄνομα ἔξεστί μοι, ἤγουν ὁ καιρὸς ἐνδίδωσί μοι

Universidad de Deusto
Biblioteca

προσφωνῆσαι καὶ καλέσαι τὸν ὄνομα. Μέπεσι δ' οὐδὲν μιπτοία ἢ ἔστι μοι σοῦ οὐδὲν πλέον, ἢ καὶ ὅσον χρόνον ἴσαμαι μιπαξὺ τῶ ξίφοις, καὶ τῶ πάφου τῶ Ἀχιλλέως. Οἱ ἐγὼ προλείπω]Φθῦ ἐγὼ ὀκλείπω. τὰ δ' μέλη μου λύεται, ὅτ' τῶ ἀποθανεῖν λείπω τὸν ζωλὸν, αἱ δ' ἁρμονίαι γόνται τῶν μελῶν μου. ὦ θυγατερ προσφαυτῆς σῆς μνεῦς, δὸς τὸν χεῖρα, μὴ μ' ἄπιστον καταλείψης. ἀπωλόμαν ὦ φίλαι γυναῖκες, ὅτι τὸν ὀν τῆς Λακεδαιμονίας Ελένην θεασάμην, τὸν ἀδελφὸν τῶ Κάστορος καὶ Πολυδεύκους. διὰ γὰ τῆς ὠραιότητος καὶ τῶ προσόντος αὐτῆς κάλλους αἰχίστως καθεῖλε καὶ κατέστρεψε τὸν πολιν ἀδάμονα Τροίαν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Αὔρα πονλιας αὔρα,
2 Ατε ποντοπόροις κομίζεις
3 Θοαὶ ἀκάτεις ἐπ' οἰδμαλίμνας· 445
4 Ποῖ με τὰν μελέαν πορεύσεις;
5 Τᾷ δουλόσυν ⊖ πρὸς οἶκον
6 Κτηθεῖσ' ἀφίξομαι;
7 Η Δωρίδος ὅρμον αἴας,
8 Η Φθιάδος, ἔνθα τὸν καλλίστων 450
9 Υδάτων πατέρα
10 Φασὶν Απιδανὸν
11 Πεδία λιπαίνειν;

STROPHE I.

Chorus.

Cho. 1 O aura, marina aura,
2 Quæ pontigradas portas
3 Celeres naues per fluctus paludis, 445
4 Quonam me miseram vehes?
5 Cui serua ad domum
6 Possessa veniam?
7 An Doricæ in littus terræ?
8 An Phtiadis, vbi pulcherrimarum 450
9 Aquarum patrem
10 Dicunt Apidanum
11 Campos pinguefacere?

Γοντιὰς αὔρα) αὖρα ἡ ἐξ ὑγροῦ ὀνφερομένη, διὰ τῶ υ. ἄβρα ἢ δούλη, διὰ τῶ β. τὸ αὖρα εἰ καὶ ὁ κανὼν βραχύνει, ἀλλ' ἔστι μακρὸν τῆτο δέχεται. ὡς καὶ τὸ φαίδρα ἐν ἑτέροις. καὶ Αειτοφάνης, αὖρα ἷς ἐξέπνευσε μυτικωτάτη, λέγων. ἅπις ἢ, γράφεται διὰ τὸ μέτρον ἅπε. τὰ πιαῦτα εἴδη τῶν χορῶν καλεῖται. κατάχρησις δὲ ἔστιν, ὡς Ηφαιστίων φησὶν, ὅσα δουλεύων ὁ ποιητὴς αἰτιοπροδόσι καὶ αἰακωκλήσι. εἰσὶ δὲ τὰ παρόντα δύο στροφαί. τῆς μὲν οὖν πρώτας στροφῆς τὰ κῶλα ι α, καὶ τῆς ἀντιστροφῆς πεντεκαίδεκα. τὸ α' ἀντισταστικὸν, δίμετρον καταληκτικὸν, ἤτοι ἐφημιμερὲς φερεκράτειον, ἐξ ὀλοπτέπτου α' καὶ βακχείου. τὸ β' ὅμοιον δίμετρον ὑπερκαταληκτὸν ἐξ ὀλοπτέπτου σ' διάμβου, καὶ συλλαβῆς ἀδιαφόρου. τὸ γ' ἰωνικὸν τετράμετρον βραχυκαταληκτὸν, ἐξ ἰωνικοῦ

ἐξ ἰωνικοῦ ἀπὸ μείζονος βραχυκῆς συζυγίας, ἤτοι διβραχέος. καὶ ἰωνικοῦ ἡμιτόνου, ὃν ῥυθμοποιεῖ τῆς στροφῆς κῶλον πάλιν ὀνομάζω β' ἔχει αὐτὸ ἰωνικῶ. τὸ δ' δίμετρον ὑπερκαταληκτὸν. καλεῖται ἢ περίοδος, διὰ τὸ συγκεῖσθαι ὁμοῦ βραχυκῆς καὶ ἰαμβικῆς συζυγίας. ἔστι δὲ τῶν ἀσυναρτήτων. τὸ ε' ἰωνικὸν δίμετρον ἀκαταληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ βραχυκῆς συζυγίας, ἤ τοι διβραχέος. τὸ ϛ' ἰαμβικὸν δίμετρον βραχυκαταληκτον. τὸ ζ' ἰωνικὸν ὅμοιον τῶ ε'. τὸ η', ὅμοιον δίμετρον καταληκτικὸν, ἐξ ἰωνικῶ ἀπὸ μείζονος, καὶ βραχυκῆς συζυγίας, ἤτοι ὀλοπτέπτου β', καὶ συλλαβῆς μιᾶς. τὸ θ' χορειαμβικὸν δίμετρον, καταληκτικὸν, ἤτοι ἐφημιμερὲς, ὃν χορειάμβου καὶ ἀναπαίστου, ἤτοι πυβραχέος διὰ τὸν ἀδιάφορον. τὸ ι' χορειαμβικὸν ὅμοιον, ἡμιόλιον, ὃν χορειάμβῳ, ἤτοι ὀλοπτέπτου β', καὶ βραχέος διὰ τὸν ἀδιάφορον. τὸ ια' βακχεῖκὸν, ἰδιφαλικὸν, ὅπερ τελεῖ τῆς στροφῆς, καὶ τῆς ἀντιστροφῆς τετράχραφος μόνη. Τοῦ Οδυσσέως λαβόντος τὸν Πολυξένην, καὶ ἀπερχομένου, αἰκαλαίεται αὐτὸν ὁ χορὸς διὰ τὸ ἄδηλον, καὶ τὸ μὴ εἰδέναι τί μέλλει παθεῖν αὐτη. ὁ δὲ χορὸς ἐστὶ δεῖ ὄν ὃν Τρωαδῶν γυναικῶν, καὶ φησὶ πρὸς τὴν θαλάσσης ἄνεμον. ἀπὸ ἐνικοῦ δὲ, δηλοῖ πάσας τὰς γυναῖκας ὁ ποιητής. φησὶ δὲ ὅτι ὁ χορός. Ω αὖρα αὖρα) ὦ πνοὴ θαλασσία, ἥτις τὰς ταχείας ναῦς, τὰς ἐν τῇ θαλάσσῃ τὸν πορείαν ποιουμένας, φέρεις ὅπῃ τὸ κῦμα τῆς θαλάσσης, ποῦ με τὸν ἀδιλίαν ἄξεις, ἤτοι πορθυθῶσαν ποιήσεις. Πορθύσεις) πορθύομαι ἐγὼ, καὶ πορθύω ἕτερον, ὡς ὀνόθα, καὶ παρὰ Πλάτωνι, ὦ δὴ πρεσβύτατε ἐνθένδε ὀκεῖσε πορθύσαι. Τὸ δουλοσυνος πρὸς τινος οἶκον δούλη κτηθεῖσα ἀφίξομαι, ἢ πορθύσεις με ἀπὸ κοινοῦ πρὸς τὸν ὅρμον τῆς Δωρίδος, ἢ εἰς τὸν ὅρμον τῆς Θεσσαλικῆς γῆς, ἤγουν εἰς τὰ φάρσαλα, οὐ πρὸς τὸ ἀφίξομαι τὸ ἢ Δωρίδος ὄζιν, ἀλλὰ πρὸς τὸ πορθύσεις. εἰ γὰ καὶ ὀνόθα τὸ ἀφίξομαι νοεῖται, ἀλλὰ μετ' ὀλίγον ἐλέγχεται, ὅταν λέγῃ τὸ ἰῶ νῆσον ἀλιήρει κώπα πεμπομένα.

Αντιστροφὴ α'.

1 Η νᾶσον, ἁλιήρει
2 Κώπα πεμπομένα τᾶλαιναν,
3 Οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,

Antistrophe I.

1 An in insulam maritimo
2 Remo transmissam infelicem,
3 Miserandam vitam habentem in domo:

Αλιήρει κώπῃ) ἢ πορθύσεις με τὸν πάλαιναν πεμπομένην ἁλιήρει κώπῃ, ἐλεεινὴν ζωὴν ἔχοσαν ἐν οἴκοις, εἰς ἢ νῆσον, ἔνθα καὶ ὁ πρωτόγονος φοῖνιξ ἱεροὶς αἰεβλάστησε κλάδοις χάριν τῆς Λητοῦς τῆς φίλης, εἰς ἣν ὠδῖνος τῆς δίας. Τυτίστιν εἰς ἢ Δῆλον. τὸ φοῖνιξ, καὶ ὁ κηρυξ, μακραὶ ἔχει φύσει ἢ λήγουσῃ, καὶ Δῆλον ἀπὸ τῆς ἠλικῆς μακραὶ ἔχουσης ἢ παραλήγουσῃ. Ενθα πρεσβύγονος) φασὶ ἢ Δία πρὸς συνουσίαν ἐλθεῖν τῇ Λητοῖ. μαθοῦσῃ δὲ ἢ Ηρα ὅτι, ζηλοτυπήσασῃ κελεῦσαι μὴ ἐν τῇ γῇ ἠλιόνησαι δωνηθῆναι τὸν Λητὸ. βιαζομένης δὲ αὐτῆς πρὸς τὸν ἔρωτα, συνέπαξεν ὁ Ζεὺς Ερμῆν λαβόντα ἀπάξαι εἰς Δῆλον. ἡ δὲ Δῆλος ἰῶ νῆσος, ὡς τινες φασὶν, ἀναδοθεῖσα ἀπὸ θαλάσσης. ὡς δέ τινες, κινουμένη πρότερον τόπο παθεῖσα, καὶ δήλη ἠλιομένη. εἰς ἰῶ Δῆλον ἡ Λητὼ ἀφικομένη, ἔτεκεν Απόλλωνα καὶ Αρτεμιν, δύο φυτὸν ὑπὸ Διὸς τότε ἀναφυέντων, φοίνικος καὶ δάφνης. ἐπεμᾶτο οὖν ἐν τῇ νήσῳ Απόλλων καὶ Αρτεμις, ὡς ὀκεῖ ἠλιηνθέντες. ἱερεῖς δὲ τοῖς πόρθοις φησὶν ὡς ἀναδοθέντας τότε Απόλλωνος καὶ Αρτέμιδος χάριν, πρωτόγονον δὲ εἶπεν αὐτὸν, ὡς πρότερον ἠλιηνθέντα τῆς Δάφνης, καὶ ἡ Δάφνη κλάδοις ἀνέφυσε, μελλούσης τεκεῖν τῆς Λήτης τὸν Απόλλωνα. Τᾶλαναν] ἔδοξε γὰ εἰ πρὸς τὸ ἀφίξομαι ἰῶ, ὅθεν εἰπεῖν πεμπομένη τᾶ-

Universidad de Deusto
Biblioteca

λαινα. πῶς δ' οὐκ πύπου φαίνεται, ὅπου πρὸς τὸ πορφύρας ὅτι τὸ ἡ Δωρίδος. τὸ δ', τῷ δουλόσωος πρὸς οἶκον κτισθεῖσ' ἀφίξομαι, διὰ μέσου. τὸ ἢ δ' τὸ πρὸς τὴν Δωρίδος, ἢ αἰτιατικὴ ἄρα, ἢ διαζευκτικόν.

4 Ἐνθα προφόγονός τε φοῖνιξ,
5 Δάφνα θ' ἱερὰς ἀνέσχε
6 Πτόρθοις Λατοῖ φίλα,
7 Ὠδῖνος ἄγαλμα δίας,
8 Σὺν Δηλιάσι τε κούραισιν,
9 Ἀρτέμιδός τε θεᾶς
10 Χρυσέαν ἄμπυκα,
11 Τόξά τ' εὐλογήσω;

Στροφὴ β'.

1 Ἢ Παλλάδος ἐν πόλει,
2 Τᾶς καλλιδίφρου Αθα-
3 ναίας, ἐν κροκέῳ πέπλῳ

4 Vbi primitiua palma
5 Laurusque sacros porrexit
6 Ramos Latonæ charæ
7 Partus decorationem diuini?
8 Cum Deliensibusque puellis
9 Dianæque deæ
10 Auream vittam
11 Arcusque celebrabo cantu?

Strophe II.

1 Aut Palladis in vrbe
2 Pulchrum currum habentis Miner-
3 uæ, in crocea veste,

Ενθα) ὅπου τὸν Ἀπίδανον τὸν ῥυνήπεσα τῶν καλλίστων ὑδάτων λέγοισιν ἀρδεύειν τὰ πεδία. ἢ πορθύσας με τὴν πάλαιαν πιμπρῶν θαλασσία κόπη ἐλεεινῶ ζωὴ ἐξουσαν ἐν τοῖς οἴκοις τῶν δεσποτῶν, εἰς τὴν νῆσον τὴν Δῆλον, ὅπου προφανὴς φοῖνιξ, καὶ δάφνη προφόγονος ἱεροὶ ἀνεβλάστησαν κλάδοις. χάριν τῆς Λητοῦς τῆς φίλης εἰς τιμὴν τῶν ὠδῖνος τῆς δίας ἢ τῆς ἀπὸ τοῦ Διός, ἢ τῆς θαυμαστῆς. Χρυσέαν ἄμπυκα) σὺν ταῖς ἀπὸ Δήλου νέαις τὸ χρυσοῦν κρήδεμνον καὶ τὰ τόξα ὑμνήσω τῆς Ἀρτέμιδος. Ἀμπυξ] κυρίως κόσμος τοῖς χρυσῷ καὶ λίθοις πεποικιλμένος, ὃν τιθεῖ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσιν. ἀφ' οὗ καὶ μεταφορά, καὶ οἱ διάχρυσοι χαλινοί, ἄμπυκες λέγονται. Ἢ Παλλάδος) τῆς β' τῶν τῆς τροφῆς τὰ κῶλα δ'. καὶ τὰ τῆς ἀντιστροφῆς, τετράκωλα. τὸ α' ἰωνικὸν δίμετρον καταληκτικόν, ἐφημιμερές. ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου. τὸ β', ὅμοιον κζ' πάντα. τὸ γ' ἀσυναρτητικὸν δίμετρον ἀκατάληκτον, γλυκώνιον καλούμενον ἐξ ὁλοτρόχου δ' καὶ ἰαμβικῆς συζυγίας, ἤτοι διιάμβου. τὸ δ' δίμετρον ἀκατάληκτον, τετρασχήμονα καλούμενον, ἀσυναρτήτον, ἐκ χορείου καὶ ἰωνικοῦ ἀπ' ἐλάττονος. τὸ ε' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ διασπονδείου. τὸ ς' χορειαμβικὸν, δίμετρον καταληκτικόν, ἐκ χορείου καὶ βακχείου. τὸ ζ' ὅμοιον ἐξ ὁλοτρόχου γ', ἢ διασπονδείου καὶ αἰαπαίστου. δυνάσται δ' ἐν] καὶ ἀσυναρτήτικόν. τὸ η' ἀσυναρτητικὸν δίμετρον ἀκατάληκτον, ἐξ ὁλοτρόχου. εἰ δ' βούλει σπονδείου, καὶ χορειάμβου. ἔχει δ' τὸ τῆς ἀντιστροφῆς κῶλον, τὸν τετρασύλλαβον. ὁλοτρόχου δὲ μόνου τὸ τέλειον τῆς τροφῆς κορωνὶς, δηλοῦσα τέλος ᾄδειν τοῦ χοροῦ ᾠδὰς καὶ τροφάς. Ἢ Παλλάδος ἐν πόλει) ἢ πορθύσας ἐμὲ ἐν τῇ Αθήναις, ὅπως ἐμβεβαμμένῳ ἀπὸ κρόκου ὑφάσματι τοῦ πόλεως τῆς τεθεικυῖα δίφρον ἐχούσης Αθήνας ἐζευγμένοις ποικίλοις διαφόρως ποικίλλουσα, καὶ καλλωπίζουσα ἐν ποικίλαις μεταξαῖς αἰθεραῖς.

4 Ζεύξομαι ἁρμαλιὰ πώλοις,
5 Εν δαιδαλαίαισι ποικίλ-
6 λουσ' αἰθεροβόροισι τωλίαις.
7 Ἢ Τιτάνων γένεαν,
8 Τὰν Ζεὺς ἀμφιπύρῳ κοιμίζει
9 Φλογμᾷ Κρονίδας;

Αντιστροφὴ β'.

1 Ὠ μοι τεκέων ἐμῶν.
2 Ὠ μοι πατέρων, χθονὸς
3 θ', ἃ κατωνᾷ κατερείπεται
4 Τυφομένα, δορίκτητος
5 Υπ' Αργείων. ἐγὼ δ' ἐν
6 Ξείνᾳ χθονὶ δὴ κέκλημαι
7 Δοῦλα, λιποῦσ' Ασίαν
8 Εὐρώπας θεράπναν,
9 Αλλάξασ' αἴδα θαλάμοις.

4 Iungam currui equos,
5 In artificiosis variegans
6 Croceo flore decoris tapetibus?
7 Aut Titanum ad sobolem,
8 Quam Iupiter candente abstulit
9 Flamma Saturnius?

Antistrophe II.

1 Heu mihi ob liberos meos.
2 Heu mihi ob parentes terram-
3 que *patriam* quæ fumo concidit
4 incensa, bello capta
5 A Græcis. Ego verò in
6 Peregina terra iam vocabor
7 Serua, relinquens Asiam
8 Europæ famulam,
9 Mutans cum inferis thalamos.

Ζεύξομαι ἁρμαὶ] ἔθος ἦν ἐν Αθήναις ὑφαίνειν τὰς παρθένους τῇ Αθηνᾷ πέπλον, ἑορτὴ τῆς θεοῦ πολεμικῆς οὔσης, καὶ ἃ κατ' γιγάντων κατεπράξατο μετὰ τοῦ Διός. ὑφαίνον δ' ἐν τοῖς παναθηναίοις. τὰ δ' παναθήναια, ἑορτὴ τῆς Αθηνᾶς, πάντων Αθηναίων συνιόντων ἐκεῖσε, καὶ τῶν ἄλλων Ελλήνων πολλὰς ἡμέρας πανηγυρίζόντων. ἀείδετο δ' ὁ πό-

Universidad de Deusto
Biblioteca

πλος ἦν Ἀθηναῖ· εἰκότως ἂν εἴπε τὸ ζεύξομαι πρὸς πόλοις. ζεύγνυμι γὰρ οἱ πόλοι, εἶπε πρὸς ἵππους τὸ ἡ Τιτάνων γενεά, ἡ ζεύξομαι ἔπεσι, φήλα ὑφαινω, καὶ γὰρ καὶ ταῦτα ὑφαινω ἔφη εἰπεῖν, ἀλλ' ἐπήρασε πλὴν τῶν πόλω. ὡς ἔφαμεν πρὸς πᾶς πόλοις. Ταὶ Ζεὺς] ἵππα γηρεαὶ τῶν Τιτάνων ἀναπεῖ, ἤγουν ἐπανάπωσεν ὁ υἱὸς τῶ Κρόνε κεραυνῷ καυσικῷ. Ω μοι τεκέων) φεῦ ἕνεκα τῶν ἐμῶν τέκνων, φεῦ ἕνεκα τῶ Πριάμου. πατέρα γὰρ τοῦτον τῶν τέκνων αὐτῆς καλεῖ. Χθονός τε] ἤγουν τῆς πατρίδος, ἡ καταβέβληται, καὶ ἀφανίζεται καμοῦσα, αἰχμάλωτος ὑπὸ τῶν Ἑλλήνων. Ἐγὼ δ' ἐν ξείνᾳ γῇ) κέκλημαι αἰεὶ ποτ κεκλήσομαι δούλη, κ᾽ αἰχμαλωτισμόν, ἢ αἰεὶ τὸ ὀκλήσθαι. ἀφ' οὗ γὰρ τῆς πατρίδος ἐξελήλαται πορθηθείσης, ἀπὸ τόπου τῶ χωροῦ εἰς δουλείαν ἐπάχθη. τὸ δ' ἐν ξείνῃ χθονί, ἢ οὗ ἔμελλεν ὡς ἔφαμεν ἀπελθεῖν νοητέον, ἢ διὰ τὴν Χερρόνησον, ἐν ᾗ πρὸς τὸ παρὸν διείσκεται, καταλιποῦσα τὴν Ἀσίαν, ἤγουν τὸν τόπον τῆς Τροίας, τὴν δούλην τῆς Ἑλλάδος. τὸ ὅλον αἰτῆ μέρος. Λιποῦσ' Ἀσίαν] ἐπειδὴ ἡ μὴ Τροία ἐν Ἀσίᾳ ἦν, οἱ δὲ τοῦτον πορθήσαντες Ἕλληνες ἐν Εὐρώπῃ, διὰ τοῦτο τὴν Ἀσίαν δούλην τῆς Εὐρώπης λελοιπέναι φησί. τὸ δὲ θαλάμοις, αἰτῆ τὸ ταῖς ἐμαῖς αὐταῖς, τουτέστι παλλακαῖς ἐγγόνειν. καὶ διὰ ποῦ γὰρ ὅτι τὸ ἀλλάξασα αἴδου θαλάμοις, αἰτῆ τὸ δοῦσα τὸ ἐμὸν λέχος τῷ σκυθοῦσαι, καὶ βουληθέντι φονεῦσαι με. Ἀλλάξασ' ἅιδᾳ, αἰτιοτρόφως λέγεται, αἰτῆ τὸ ἀλλαξαμένη αἴδαν τῶν θαλάμων, τουτέστι τῶν οἴκων αἴδαν κληρωσαμένη, ὅμοιον τῷ ὠνοῦμαι δραχμῆς, ἢ τοιούτου πνὸς τόδε, ἤγουν διὰ δραχμῆς ὠνοῦμαι τόδε. καὶ τὸ ὠνεῖσθαι γὰρ αἰτιατικῇ νοεῖται ὅτιν. ἐν τοῖς τοιούτοις γὰρ τὸ μὴ κ᾽ γενικῷ νοεῖσθαι φερόμενον, ἀεὶ ὅτι τὸ διδόμενον. τὸ δὲ κ᾽ αἰτιατικῷ, τὸ λαμβανόμενον.

I A M B O I.

Τρ. Ποῦ τὴν ἄναστον δή ποτ' ἔσταν Ἰλίου
Ἑκάβην αὖ ἐξεύρομι, Τρωάδες κόραι; 485
Χο. Αὕτη πέλας σε νῶτ' ἔχει σ' ὀπὶ χθονί,
Ταλθύβιε κεῖται, συγκεκλεισμένη πέπλοις.
Τρ. Ὦ Ζεῦ, τί λέξω; πότερα σ' ἀνθρώποις ὁρᾶν;
« Ἢ δόξαν ἄλλως τήνδε κεκτῆσθαι μάτην
« Ψευδῆ, δοκοῦντας δαιμόνων ἔθνος, 490
« Τύχην δὲ πάντα τὰν βροτοῖς ἐπισκοπεῖν;

Talthybius.

Tal. Vbi reginam olim existentem Ilij
Hecubam inueniam, ô Troianæ puellæ? 485
Cho. Illa prope te tergum habens in terra,
O Talthybie, iacet inuoluta vestibus.
Tal. O Iupiter quid dicam? vtrum te homines respicere?
« An opinionem temere hanc habere frustrà,
« Falsò existimantes esse deorum genus, 490
« Fortunam verò omnia mortalia gubernare?

Ποῦ τὴν ἄναστον) αἱ θεῖοδοι αὗται πᾶσαι ἴχνη εἰσὶν ἰαμβικῶν τετραμέτρων ἀκατάληκτον μὲν, ὧν ὁ τελευταῖος, ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν, ὀπὶ ταῖς ἀποθέσεσι θορύβαφος, ὀπὶ τῷ πέλει κορωνὶς ἐξιόντων τῶ ὑποκριτῶν. Ποῦ τὴν ἄναστον) ὦ Τρωϊκαὶ γυναῖκες, ποῦ αὖ εὕροιμι τὴν Ἑκάβην, τὴν ἤδη ὑπάρχουσαν βασίλειαν τῆς Τροίας. Αὕτη πέλας σου ὦ Ταλθύβιε ἐρριμμένη κ᾽ γῆς κεῖται, συγκεκαλυμμένη τοῖς ἱματίοις. Ὦ Ζεῦ τί λέξω) ὁρᾶν ὁ Ταλθύβιος τὴν Ἑκάβην ἀθλίως οὕτως διακειμένην, ἐκπληττόμενος λέγει πρὸς τὸν Δία·

πότερον ὦ Ζεῦ σὺ τοῖς ἀνθρώποις ἐφορᾷς, ἢ δοκοῦσι οἱ ἄνθρωποι τοῖς θεοῖς, ἔχοντες τὴν πρὸς τοῦτον δόξαν ψευδῆ. τὸ δὲ τῆς τύχης διοικεῖ τὰ ἀνθρώπεια, οὕτω τὸ ψευδῆ πρὸς τὸ δόξαν συντάκτεον. οὐ πρὸς δοκοῦντας, καθὼς οἴονται τινες ἀγνοήσαντες, καὶ αἰτῆ τῶ ψευδῶς τὸ ψευδῆ ἐκλαβόντες. τὸ ψευδῆ δὲ μεθεμμηνευτικὸν δεῖ τῶ μάτην, καὶ τῶ ἄλλως.

Οὐχ' ἥδ' ἄναστα τῶν πολυχρύσων Φρυγῶν;
Οὐχ' ἥδε Πριάμου τοῦ μεγ' ὀλβίου δάμαρ;
Καὶ νῦν πόλις μὲν πᾶσ' ἀνέσηκε δορί,
Αὕτη δ', δούλη, γραῦς, ἄπαις, ὀπὶ χθονὶ 495
Κεῖται, κόνει φύρουσα δύσηνον κάρα.
« Φεῦ, φεῦ. γέρων μὲν εἰμί, ὅμως δέ μοι θανεῖν,
« Εἴη, πρὶν αἰσχρᾷ πρεπεστεῖν τύχῃ τινί.
Ἀνίστασ' ὦ δύσηνε, καὶ μετάρσιον
Πλευρὰν ἔπαρε, καὶ τὸ πάλλευκον κάρα. 500
Εκ. Εα. Τίς δεῦρ' σῶμα τοὐμὸν οὐκ ἐᾷ
Κεῖσθαι; τί κινεῖς μ', ὅς τις εἶ, λυπουμένην;
Ταλ. Ταλθύβιος ἥκω, Δαναϊδῶν ὑπηρέτης,
Ἀγαμέμνονος πέμψαντος, ὦ γυναῖ, μέτα.
Εκ. Ὦ φίλτατ', ἆρα κἄμ' ὀπίσω φάσαι τάφῳ 505
Δοκεῖς Ἀχαιοῖς ἦλθες; ὡς φίλ' αὖ λέγοις·
Σπεύδωμεν, ἐγκονῶμεν· ἡγοῦ μοι γέρον.

An non hęc fuit regina abundantium auro Phrygum?
An non Priami eximiè beati vxor?
Et nunc vrbs quidem vniuersa euersa est hasta:
Ipsa verò serua, anus, orba liberis, in terra 95
Iacet, puluere fœdans calamitosum caput.
« Ah, ah. senex quidem sum, attamen mihi mori
« Contingat potius quàm in turpem incidam casum aliquem.
Surge, ô infelix, & sublime
Latus eleua, & prorsus canum caput. 500
Hec. Age. Quis hic corpus meum non sinit
Iacere? Quid moues me, quisquis es, afflictam?
Tal. Talthybius venio Danaidarum minister,
Agamemnone accersente te ô mulier.
Hec. O charissime, numnam & me insuper mactare ad tumulum
Iuxta decretum Græcorum venisti? quàm chara diceres.
Properemus: laboremus: duc me ô senex.

Οὐχ' ἥδ' ἄναστα) ἥδε οὐκ ἰῶ δέσποινα τῶν πολυσίτων Τρώων; ἥδε οὐκ ἰῶ γυνὴ Πριάμου τῶ λίαν πλουσίου; καὶ νῦν ἡ μὴ πόλις ἀνάστατος γέγονεν ὑπὸ τῶ πολέμου. αὕτη δὲ ἡ γραῦς Ἑκάβη δὲ δουλωμένη, καὶ παίδων ἐστερημένη κεῖται ἐν τῇ γῇ· μολυνοῦσα τὴν ἀθλίαν κεφαλὴν διὰ τῆς κόνεως. Φεῦ φεῦ, γέρων μὲν εἰμὶ] καὶ διὰ τοῦτο οὐ δέδοικα τὸ δυσυχεῖν, ὡς εἰ καὶ συμβήσεταί μοι δυσυχία ταχέως παρέλθοι, διὰ τὸ ὀλίγον ἔπ εἶ) τὸ λεῖπον τῆς ζωῆς, ὅμως ἡ δύσχρεια

Universidad de Deusto
Biblioteca

θανεῖν θεῶν τῆς δυσυμίας. ἢ τὸ γέρων μὲν εἰμί, διὰ τὸ τοῖς γέρουσι θελεπτοδαιδοτέρον εἶ) τὸ ζῆν. ἐπειδὴ ὁρῶσιν ὡς ἐγγὺς εἰσὶ τοῦ θανάτου. Ἀνίστασ' ὦ] ἐγέρθητι ὦ ἀθλία, καὶ μετέωρον τὴν πλοῦρον ἔγειρε, καὶ τὴν ἄγαν λυκλὼ κεφαλὴν. Εα) τὸ ἔα ἢ ἀλὶ τὸ ἄφες, ἢ ὅλῃ ὀκπλήξεως λάμβανε, τίς ἐστιν ἐστί, ὅς τις οὐκ ἀφίησι τὸ ἐμὸν σῶμα κεῖσθαι, τί με ἐχλεῖς καὶ τὰ ἔα ἢ εἰς ὅς τις ὑπάρχεις, λυπυμὴ λῶ; Ταλθυβιος ὁ τῆς Ἀχαιῶν κῆρυξ ἥκω, μεταπαλεσαμένου σε, ὦ γυναῖ, τὸ Ἀγαμέμνονος. ὦ φίλτατε, ἄρα καὶ ἐμὲ ἦλθες μεταπαλέσων, ὡς τὸ ὅλῃ σφάξαι τὸν τάφῳ κῆ τὸ δοκοῦν τοῖς Ἕλλησιν, λίαν θεοφιλὲς λέγεις. δεῦρο ἵνα σταύσωμεν, ἐγείρωμεν κόνιν, θεσηγεῦμοι τὸ θεοσδοτοῖεν γέρον. Εγκονάμεν) ἐγκονᾶ τὸ σταύδω, τουτέστι τὸ κόνιν ἐγείρω. οἱ γὰρ σπουδάζοντες κόνιν εἰώθασιν αἴρειν τοῖς ποσί. τὸ ᾖ σταύδωμεν, καὶ ἐγκονάμεν, καὶ τὸ ἡγεμόνι γέρον, ἔμφασιν ἔχει τῆς πολλῆς θεσθυμίας, ἵν' εἶχεν ἡ Εκάβη ἀποθανεῖν σωάμα τῇ θυγατρί.

Τθ. Σὴν παῖδα κατθανοῦσαν ὡς θάψῃς γυναῖ,
Ἥκω μεταστείχων σε. πέμπουσι δέ με
Διοσοί τ' Ατρεῖδαι, καὶ λεὼς Ἀχαϊκός. 510
Εκ. Οἴμοι, τί λέξεις; οὐκ ἄρ' ὡς θανουμένοις
Μετῆλθες ἡμᾶς, ἀλλὰ σημανῶν κακά;
Ὀλωλας ὦ παῖ μητρὸς ἀρπασθεῖσ' ἄπο.
Ἡμεῖς δ' ἄτεκνοι τοῦπίσ', ὦ τάλαιν' ἐγώ.
Πῶς καίνιν ὀξεθεράξατ; ἆρ' αἰδούμενοι. 515
Ἢ θεὸς τὸ δεινὸν ἦλθεθ', ὡς ἐχθραίνων γέρον,
Κτείνοντες; εἰπέ, καίπερ οὐ λέξων φίλα.
Τθ. Διωλᾶ με χρῄζεις δάκρυα κερδάναι γυναῖ,
Σῆς παιδὸς οἰκτῶν νεῶ τε δὲ λέγων κακά,
Τέγξω τόδ' ὄμμα, θεὸς τάφῳ θ', ὅτ' ὤλλυτο. 520
Παρῶν μὲν ὄχλος πᾶς Ἀχαϊκὸς στρατῶ

Tal. Tuam filiam mortuam vt ſepelias, ô mulier,
Venio vocans te. mittunt verò me
Gemini Atridæ, & populus Achaicus. 510
Hec. Heu mihi: quid dicis? non ergo quaſi morituros
Veniſti ad nos, ſed ſignificaturus mala?
Periſti ô filia à matre abrepta:
Nos verò orbæ liberis in poſterum. ô miſera ego.
Quomodo verò ipſam confeciſtis? num nam reuerentes? 515
An ad ſæuitiam proceſſiſtis, vt hoſtem, ô ſenex,
Interficientes? dic, quamuis non dicturus iucunda.
Tal. Duplices me poſtulas lacrymas conſequi, ô mulier,
Filiæ tuæ miſeratione: nunc quidem nuntians mala
Rigabo hunc oculum, & ad ſepulchrum quum periit. 520
Aderat quidem tota turba Achaici exercitus

Σὴν παῖδα τὴν σὴν θυγατέρα ἀποθανοῦσαν, ἵνα θάψῃς ὦ γυναῖ ἦλθον καταλέμβρος. πέμπουσι δέ με ὁ Ἀγαμέμνων καὶ ὁ Μενέλαος οἱ Ἀτρεῖδαι, καὶ ὁ στρατὸς τῶν Ἑλλήνων. Οἴμοι τί λέξεις) αἰτὶ τοῦ τί λέγεις. λοιπὸν οὐχ ὡς μέλλουσιν τεθνήξεσθαι ἀφίκου πρὸς ἐμέ, ἀλλὰ μιλυόπων κακά; τέθνηκας ὦ παῖ ἀπὸ τῆς μήτρος ἁρπασθεῖσα. ἐγὼ δ' ἄτεκνος, ὅσον τὸ κῆ σέ. Οὐκ ἄρα) ἐνταῦθα οὐκ ἐρωτηματικὸν τὸ ἄρα, ἀλλὰ συμπερασματικὸν, καὶ ἀποφανικὸν ὄντων. διὸ καὶ ὀξυόνεται. τὸ ἄρα τὸ μὲν ἀπορηματικὸν, ἤτοι κατ' ἐρώτησιν ὑθέμενον, θεραπᾶται, καὶ μακρὸν ὡς ὅλῃ πλεῖστον διείσκεται. τὸ ᾖ ἄρα τὸ συμπερασματικὸν, καὶ ἀποφανικὸν, ἀεὶ βαρύνεται, καὶ βραχύνεται. ἔρηται ᾖ ὡς ὅλῃ πλεῖστον, διὸ καὶ βραχὺ ἀπαιτῶν διείσκεται. Πῶς καίνιν) πῶς αὐτὴν ἐφονεύσατε. ἄρα δυλαβούμενοι, ἢ θεὸς τὸ ἀπὶ ἐς ἦλθετε, τουτέστι δεινῶς καὶ ἀπιστῶς ἐφονεύσατε, ὡς ἐχθραὶ φονεύοντες. Παρῶν μὲν ὄχλος) παρὸν τῶν τὸ πλῆθος τῶν Ἑλλήνων. τὸ δὲ πᾶς καὶ τὸ πλήρης κατ' ὀλίγιστον λέγεται, ἔμφασιν θεν τὸ τάφου τοῦ Ἀχιλλέως, θεὸς τὰς σφαγὰς τῆς σῆς θυγατρός.

Πλήρης πρὸ τύμβου σῆς κόρης ὑπὲρ σφαγάς.
Λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς,
Ἔστησ' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ.
Λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι, 525
Σκίρτημα μόχθ σῆς καθέξοντες χερῶν,
Ἔσπευδον. πλῆρες δ' ἐν χερῶν λαβὼν δέπας
Πάγχρυσον, ἔρρει χειρὶ παῖς Ἀχιλλέως
Χοὰς θανόντι πατρί. σημαίνει δέ μοι

Frequens antè tumulum, tuæ filiæ ad mactationem.
Prehendens verò Achillis filius Polyxenam manu,
Statuit in ſummo tumulo: prope verò ego,
Lectique Achæorum præcipui iuuenes 525
Saltum vitulæ tuę cohibituri manibus
Sequebantur. plenum verò in manibus accipiens poculum
Totum aureum, fundebat manu filius Achillis
Libationes mortuo patri. Significat verò mihi

Πρὸ τύμβου) πῶς τοῦ Ἀχιλλέως ὂν Τροίας τάφος, ὁ Ταλθύβιος λέγει θεὸ τύμβου τοῦ Ἀχιλλέως ἱστᾶσαι τοῖς Ἕλλησι, ὄντας ἐν Χερρονήσῳ καὶ φκιδῷ, ὅπῃ ἡ κενοτάφιον ἐν Χερρονήσῳ ἐποίησαν, ἢ εἰς Τροίαν ἀπῆλθον, καὶ ἔθυσαν τῷ κόρῳ. Λαβὼν δ' Ἀχιλλέως) λαβὼν ᾖ ὁ τοῦ Ἀχιλλέως παῖς Νεοπτόλεμος τὴν Πολυξένην ἀπὸ τῆς χειρὸς, ἔστησεν ὅλῃ τοῦ ἀνωτάτου μέρους τοῦ τάφου. Πέλας δ' ἐγώ) πλησίον ἐμοῦ καὶ ἐγώ. ἐπειδὴ κῆρυξ ἦν ὁ Ταλθύβιος, διὰ τοῦτο πλησίον ἵστατο τοῦ Νεοπτολέμου, ἵνα ὅταν βουληθῇ εἰπεῖν ὁ Νεοπτόλεμος τοῖς Ἀχαιοῖς, δι' ἐκείνου εἴπῃ κῆρυκος ὄντος, καὶ δυναμένου λέγειν εἰς ἐπήκοον πάντων. αὐτὸς γὰρ ἐν ὁ σωπτὴν παντὶ τῷ στρατῷ κηρύξας, ὡς καὶ αὐτὸς θραπαῖον λέγει, ὑπὸ Νεοπτολέμου θεσταχθείς. Λεκτοί τ' Ἀχαιῶν] ἠκολούθουν ᾖ καὶ ὅλῃ ἐκλεκτοὶ ἀπὸ τῶν Ἑλλήνων ἐκλελεγμένοι νέοι, τὸ πένθημα τῆς σῆς παιδὸς καθέξοντες, καὶ κρατήσαντες διὰ τῶν χειρῶν. Ἔσπευδον] ἠκολούθουν. τὸ θέμα ἔσπευ ἄχρηστον, τὸ ἀκολουθῶ. ὁ βῆ ἀόριστος ἔσπευν, καθ' ὁμοίωσιν τοῦ ἔχω, ὁ βῆ ἀόριστος ἔσχον. ὁ μέσος ἐσπουδῶν, τὸ γ τῶν πληθυντικῶν ἔσπευν) Πλῆρες) ὁ δὲ τοῦ Ἀχιλλέως παῖς Νεοπτόλεμος λαβὼν διὰ τῆς χειρὸς ποτήριον πάγχρυσον, ἔρρει θυσίας τῷ θανόντι πατρὶ, θυσίας, οἶνον δηλονότι, μέλι, γάλα, καὶ ἄλθυρον. Ἔρρει] διὰ ποῦ τὸ θεὸ τοῦ θῦσαι τὴν Πολυξένην ἔρρει χεὰς, ἵνα αἱμαχθεῖσα ἵστατο τῆς χοῆς ἡ ψυχὴ πίνῃ τοῦ αἵματος. Χοὰς) χοὴ λέγεται ὅλῃ ὑγρῶν, μέλιτος, ἐλαίου, καὶ ἄλθυρου, καὶ τῶν ἑτέρων. θυσία ᾖ ὅλῃ σφαγῆς ζώων. Σημαίνει δ' ἐμοὶ] θεσταίνει. θραδηλοῖ μοι κηρύξαι σωπὴν παντὶ τῷ στρατῷ τῶν Ἑλλήνων. ὅλῃ δείκνυσι πῶς διὰ σημείων καὶ γραμμάτων, ὅτι

Universidad de Deusto
Biblioteca

ἔθος ὅτι τοῖς βασιλεῦσι διὰ θυμάτων πάθη λέγειν δηλοῦν, καὶ μίμησιν τῶν τοῦ θυμάτων καὶ βουλήματα τὸ πᾶν διοικονομοῦντος. ὡδε καλεῖν

Σιγὴν Ἀχαιῶν παντὶ κηρύξαι στρατῷ. 530
Κἀγὼ σταθεὶς, εἶπον ἐν μέσοις τάδε·
Σιγᾶτ' Ἀχαιοὶ, σῖγα πᾶς ἔστω λεώς.
Σίγα, σιώπα. νεῦε μου δ' ἔσησ' ὄχλον.
Ὁ δ' εἶπεν· ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμός,
Δέξαι χοὰς μου τάσδε κηληθρίους, 535
Νεκρῶν ἀγωγοὺς. ἐλθὲ δ' ὡς πίῃς μέλαν
Κόρης ἀκραιφνὲς αἷμ', ὃ σοι δωρούμεθα
Στρατός τε, κἀγὼ πρόμμνης δ' ἡμῖν γένοῦ.
Λῦσαί τε πρύμνας, καὶ χαλινωτήρια
Νεῶν δὸς ἡμῖν, πρόμμνοις τ' ἀπ' Ἰλίου 540
Νόστου τυχόντας, πάντας εἰς πάτραν μολεῖν.

Silentium Græcorum vniuerso vt denuntiarem exercitui. 530
Et ego astans dixi in medio hæc:
Tacete vos Græci: tacitus vniuersus sit populus:
Sile, tace. tranquillam autem constitui turbam.
Ipse verò dixit: O fili Pelei, pater verò meus,
Accipe libationes hasce propitiabiles, 535
Mortuos elicientes: veni verò vt bibas nigrum
Puellæ illibatum sanguinem, quem tibi damus
Exercitúsque & ego: propitius verò nobis sis,
Soluéque puppes, & retinacula
Nauium: da nobis felicémque ab Ilio 540
Reditum nactis omnes in patriam venire.

Σιγᾶτ' Ἀχαιοὶ) σιωπήσατε. σῖγα πᾶς ἔστω λαός] μιμεῖται τὸ πολλάκις κηρύττειν τὰ αὐτὰ τοῖς κήρυκας. τὸ σίγα, εἰ μὴ ἔστι τετραχῶς, ὀξύνεται. εἰ δὲ ὀλίγον ῥῆμα, περισπᾶται. Πατὴρ δ' ἐμὸς) αἰτεῖ τὸν ἐμοῦ. Ἀττικὸν, παῖ κτητικὰς αἰτωνυμίας οὐ δέον ἔχειν κλιτικὰς, δεῖ δὲ τὸ μὴ πᾶς αὐτὰς εἶ) τῶν τοῦ τετραπόδων αἰγιαλικῶς. λαμβάνονται γοῦν αἱ δόξαι Ἀττικῶς, αἱ τοῦ κλιτικῶν. αἱ δὲ κτητικαὶ πᾶσαι, εἴτε ἀδιάφορα εἶεν, εἴτε γενικῆς, εἴτε ὑστεροῦσιν ἄλλης πτώσεως, ἤτοι ἐνικῆς, ἢ δυικῆς, ἢ πληθυντικῆς, εἰ μὲν τετραπόδων τετράστατα εἶεν, αἱ τῆς τετραπόδων γενικῆς τὸ τετράστατον λαμβάνονται. εἰ δὲ δευτέρου, αἱ τῆς τετραπόδων γενικῆς τὸ τετράστατον. εἰ δὲ γ', αἱ τῆς τετραπόδων γενικῆς τὸ τετράστατον τετράστατον. Δέξαι χοὰς μου) ἀντὶ δῶρα, χοὴ, θυσία, διαφέρουσι. ἀντὶ δὲ τοῦ ξηρὰν, σίτου καὶ κριθῆς. χοὴ δὲ τὸ ὑγρὸν, οἴνου, μέλιτος, καὶ γάλακτος. θυσία, δὲ τὸ ζῶον, τετράπουν, καὶ τοῦ ὁμοίων. ἄλλοι δὲ, ἀποιδὼ καὶ χολὴ θεῶν τὸν λέγουσιν, ὃ καὶ κρεῖττον. Δέξαι χοὰς) λάβε μου θεῶν τὰς θυσίας τὰς θελκτηρίους, τὰς ἡδυπτηρίους, τὰς τερπνούσας τὰς ψυχὰς τῶν νεκρῶν, ἢ τὰς κηλούσας τοὺς καταχθονίους δαίμονας. Νεκρῶν ἀγωγοὺς) αἰαφερούσας τὰς ψυχάς. ἄγω ῥῆμα, τὸ κομίζω, καὶ φέρω. ἀγωγὸς, ὁ φέρων, καὶ ὁ κομίζων, καὶ ὀλίγα ἀρσενικῶν καὶ ὀλίγα θηλυκῶν. ἀγώγιμον, τὸ φερόμενον, καὶ κομιζόμενον.

ἀγωγὰ

ἀγωγὴ δὲ, ἡ τὸ κομίζειν ἐνέργεια. Ἐλθὲ δ' ὡς πίῃς] ἐλθὲ δὲ ἵνα πίῃς τὸ καθαρὸν αἷμα τῆς παρθένου, ὅτῳ σοι χαριζόμεθα, καὶ ὁ στρατὸς καὶ ἐγὼ, καὶ λύσαι τὰς ναῦς, καὶ τὰ σίδηρα, καὶ τὰ χαλινία τῶν νεῶν. δὸς δὲ ἡμῖν εὐμενεῖς ἀπὸ τῆς Τροίας ἐπανοδοφῆς ἀγαθῆς ὀλιγοχρόνους ἡμᾶς, εἰς τὴν πατρίδα ἀπελθεῖν. Δὸς δὲ ἡμῖν εἰπὼν, ὥφελε τυχοῦσιν ἐπάξειν. ὁ δὲ, ὥσπερ ἐκ μετεμελείας ἀποδίδωσι τὸν λόγον κατ' αἰτιατικὴν τὸν ἀπαρέμφατον.

Τοσαῦτ' ἔλεξε. πᾶς δ' ἐπηύξατο στρατός.
Εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν,
Ἐξεῖλκε κολεοῦ. λοιπὸν δ' Ἀργείων στρατῷ
Νεανίαις ἔνδυσε, παρθένον λαβεῖν. 545
Ἡ δ' ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·
Ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
Ἐκθυσκανθήσκω, μή τις ἅψηται χροὸς
Τἀμοῦ· παρέξω γὰρ δέρην ἀκαρδίως.
Ἐλευθέραν δὲ μ', ὡς ἐλευθέρα θανῶ, 550
« Πρὸς θεῶν μεθέντες, κτείνατ'. Ἐν νεκροῖσι γὰρ
« Δούλη κεκλῆσθαι, βασιλὶς οὖσ' αἰσχύνομαι.
Λαοὶ δ' ἐπερρόθησαν· Ἀγαμέμνων τ' ἄναξ

Tantum dixit. Omnis autem adprecatus est exercitus.
Mox auratum ensem capulo accipiens
Extraxit vagina: lectis autem Græcorum exercitus
Adolescentibus innuit virginem apprehendere. 545
Ipsa verò vt sensit, hunc significauit sermonem:
O meam qui excidistis Argiui vrbem,
Volens morior: ne quis attingat corpus
Meum: præbebo enim ceruicem forti pectore.
Liberam verò me, vt libera moriar, 550
« Per Deum, mittentes, interficite. Apud manes enim
« Seruam vocari, regina quum sim, pudet me.
Turba verò admurmurabant. & Agamemnon rex

Τοσαῦτ' ἔλεξε) τοσαῦτα εἶπε. ὅλος δὲ ὁ στρατὸς ἀλαλὴν ἐποιήσατο, ἤτοι ἐπ' ὀνείων ἤυξατο, ἤγουν μετὰ τὸ πληρῶσαι ὀνεῖνον τὴν ἀγχὼ ἢ ἤυξατο. Εἶτ' ἀμφίχρυσον) ἔπειτα τὴν κεκεχρυσωμένον ξίφος λαβὼν ἀπὸ τῆς λαβῆς, ἐξεῖλκε τῆς θήκης. Φάσγανον) τὸ ἐν σφαγῇ γαυνύμενον, ἢ τὸ γεγανωμένον, ἤγουν σίδηρον σκεῦος. κολεοῦ) ἢ, ἢ ξιφοθήκη, ἀπὸ τοῦ ἐν αὐτῇ τὰ οὐλοὰ, ἤγουν τὰ ὀλέθρια ξίφη κεῖσθαι. Λοιπὸν δ' Ἀργείων) καὶ τοῖς ὁπλέκτοις νεανίαις τὸ στρατοῦ τῶν Ἑλλήνων ἔνδυσε τὴν κόρην κρατῆσαι. Ἡ δ' ὡς ἐφράσθη) αὕτη δὲ ἐπεὶ ἐφράσατο καὶ ἐνόησε, πρὸ τὸν λόγον ἐδήλωσεν· ὦ Ἕλληνες οἱ πορθήσαντες τὴν ἐμὴν πόλιν, ἐθελουσίως θέλω τεθνήξεσθαι. ὅρα ἵνα μή τις ἅψηται καὶ τοσεγγίσῃ τοῦ ἐμοῦ σώματος. παρέξομαι γὰρ τὸν λαιμὸν ἀκαρδίως τε καὶ ἀψόφως. ἀπολελυμένη δέ με τοῦ θεῶν ἀφέντες, κτείνατε, ἵνα ἐλευθέρα θάνω, καὶ μὴ δούλη δηλονότι. Ἐλεύθερος) ὁ ἀπολελυμένος, καὶ μὴ ὑπὸ δουλείαν. αἰ ἐλεύθερος δὲ ὅτι φειδωλείας, ὡ ἐναντίον ὁ ἐλευθέριος. ἡ δὲ συνταξις οὕτω. τοῦ θεῶν μεθέντες, καὶ ἀφέντες ἐμὲ ἐλευθέραν, καὶ αἴ ἐπν, κτείνατε, ὅπως θάνω ὡς ἐλευθέρα, καὶ οὐ δούλη.

οὕτω μὴ ἐλευθέραν αὐτὴ τοῦ αἴνου ἐκλυπεῖν. τὸ δὲ ἐλευθέρα, αὐτὴ τοῦ δούλη. ὡς δηλοῖ καὶ τὸ τῆς καταστυφῆς. εἰ γὰρ ἀληθῶν ἔκλαιον τοιαῦτης ἀπέθνησκεν, δουλικῶς αὖ καὶ οὐκ ἐλευθέρως τεθνάναι ἔδοξεν. Εν νεκροῖς γὰρ) ἐν τοῖς νεκροῖς γὰρ καλεῖσθαι δεδουλωμένη δεσποινα οὖσα, ἐν τρέπεται. Λαοὶ δ' ἐπέρρησαν) ὁ δὲ λαὸς ἤχησεν, ἀπὸ μεταφορᾶς τοῦ ἤχου τῶν ῥοθίων, ὁ δὲ βασιλεὺς Αγαμέμνων ἔλεξε τοῖς νέοις ἀφεῖναι τὴν παρθένον. Επέρρησαν] εἰκότως καὶ ἁρμοδίως εἴρηται ὅτι πλῆθος, ἤχον ἀσήμως ἤχησαν. ἐκ μεταφορᾶς τῶν κυμάτων ἡ λέξις. τὸ γὰρ πλῆθος ὁμοῦ βοῆσαι ἄγνωστον τοῖς ἀκούουσιν, ὅπερ καὶ λέγει.

Εἶπε μεθεῖναι παρθένον νεανίαις.
Οἱ δ' ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα, 555
Μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.
Κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
Λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος
Ἔρρηξε λαγόνος εἰς μέσον παρ' ὀμφαλόν,
Μαστούς τ' ἔδειξε, στέρνα θ' ὡς ἀγάλματα 560
Κάλλιστα· καὶ καθεῖσα τοῦς γοῦν γόνυ,
Ἔλεξε πάντων τλημονέστατον λόγον·
Ἰδοὺ, τόδ' εἰ μὴ στέρνον ὦ νεανία
Παίειν τοθυμῇ, παῖσον. εἰ δ' ὑπ' αὐχένα
Χρῄζεις, πάρεστι λαιμὸς οὐτεστὴς ὅδε. 565

Dicebat vt dimitterent virginem adolescentibus.
Illi verò vt celerrimè audiuerunt summam vocem, 555
Dimiserunt, cuius & summum erat imperium.
Et postquam audiuit dominorum dicta,
Apprehendens peplos ex summo humero,
Rupit ile circa medium iuxta vmbilicum,
Mamillásque ostendit, pectoráque quasi statuæ 560
Pulcherrima: & flectens ad terram genu,
Dixit omnium miserabilissimum sermonem:
Ecce, hoc si quidem pectus ô iuuenis,
Ferire cupis, ferito: si verò sub ceruice
Volueris, adest iugulus paratus hic. 565

Οἱ δ' ὡς τάχιστ' ἤκουσαν) οὗτοι δ' ἐπὶ τάχιστα ἤκουσαν τῆς ἐσχάτης φωνῆς τοῦ βασιλέως. τέλος γὰρ πάσης ὑποταγῆς ὁ βασιλεύς. (καὶ Πίνδαρος, τόδ' ἔργον κορυφοῦν τῶν βασιλεύσι) μεθῆκαν. ὤφελε δὲ εἰπεῖν οὕτως. οἱ δὲ ἐπεὶ ἤκουσαν τῆς ὑστέρας φωνῆς, ἤγουν τῆς βασιλικῆς, μεθ' ὧν οὐδενὶ λέγειν ἔξεστιν, οὗ ἕνεκα βασιλέως μέγιστον ἦν κράτος, μεθῆκαν. ὁ δὲ αἰπηρόφρων. ἐπεὶ τάχιστ' ἤκουσαν, μεθῆκαν. ἔστι δ' ὁ γραμματισμὸς μᾶλλον ῥήτορι σωφρονῆ ἢ ποιητῇ. Κἀπεὶ τόδ' εἰσήκουσε) ἐπεὶ δὲ, ἀφ' οὗ δὲ ἤκουσε τοῦτο τὸ λόγιον τῶν δεσποτῶν, λαβοῦσα τὰ ἱμάτια, ἔρρηξεν ἀπὸ τῆς ἄκρας ἐπωμίδος μέχρι οἷόν τ' ὡς τάχιστα ἤκουσαν ὑστέρας τῆς ὄπα τοῦ Αγαμέμνονος, ὑστέραν ἐπήγαγε τοῦς τῆς ὄπα, αἰπηρόφρων ὄνομα θεὶς. σωφρονῆ δὲ τὸ τάχιστα, τοῦς τὸ μεθῆκαν. ἄλλως. οὕτως ὤφειλεν εἰπεῖν. οἷόν τ' ἐπεὶ ἤκουσαν ὑστάτην ὄπα, οὐ γὰρ καὶ μέγιστον ἦν κράτος, τάχιστα μεθῆκαν. ὁ δὲ αἰπηρόφρων. ἐπεὶ τάχιστ' ἤκουσαν, μεθῆκαν. ἔστι δ' ὁ γραμματισμὸς μᾶλλον ῥήτορι σωφρονῆ ἢ ποιητῇ. Κἀπεὶ τόδ' εἰσήκουσε) ἐπεὶ δὲ, ἀφ' οὗ δὲ ἤκουσε τοῦτο τὸ λόγιον τῶν δεσποτῶν, λαβοῦσα τὰ ἱμάτια, ἔρρηξεν ἀπὸ τῆς ἄκρας ἐπωμίδος μέχρι

τοῦ μέσου τῆς λαγόνος, καὶ ἔδειξε τὰ στήθη καθάπερ ἀγάλματα κάλλιστα. καὶ καταβαλοῦσα τοῦς γλῶ τὸ γόνυ, εἶπε λόγον ἀθλιώτατον πάντων τῶν λόγων δηλονότι. Επωμίδος) ἐπωμὶς τὸ ὑφέχον τοῦ βραχίονος· καὶ εἶδος ἐνδύματος. ἐνταῦθα δὲ τὸ τοῦτο δοκεῖ λέγειν. Εἰς μέσον) τὸ εἰς αὐτὴ τοῦ ἕως, καὶ τοῦ Δημοσθένει, πύτω φιλανθρώπως ἐχρώμεν εἰς τὴν δὲ τὴν ἡμέραν, αὐτὴ τοῦ μέχρι τῆς δὲ τῆς ἡμέρας. λάμβανε δὴ πῶς τὸ εἰς, καὶ τοῦς τὸ λαγόνας. κ.τ.λ. συνεκδοχήν. Ἰδοὺ τόδε) ἰδοὺ ὦ νεανία, εἰ μὴ τόδε τὸ στέρνον παίειν τοθυμῇ, παῖσον. εἰ δ' ὑπ' αὐχένα θέλεις, πάρεστι λαιμὸς ἀνωρεπὴς ὅδε.

Ο δ' οὐ θέλων τε καὶ θέλων, οἴκτῳ κόρης,
Τέμνει σιδήρῳ πνεῦμα δι' ἀρρόας,
Κρουνοὶ δ' ἐχώρουν· ἡ δ', καὶ θνήσκουσ', ὅμως
Πολλὴν τοθοῦνοιαν εἶχεν εὐχήμως πεσεῖν,
Κρύπτειν θ' ἁ κρύπτειν ὄμματ' ἀρσένων χρεών. 570
Επεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
Οὐδεὶς τὸν αὐτὸν εἶχεν Αργείων πόνον,
Αλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν, ἐκ χερῶν

Ille verò & nolens & volens præ commiseratione puellæ,
Secat ferro spiritus meatus.
Fontes verò fluebant. Hæc verò etiam moriens, tamen
Magnam solicitudinem habuit decenter vt caderet.
Et occultaret quæ occultare oculos virorum conuenit. 570
Postquam verò emisit spiritum lethali ex mactatione,
Nemo eundem habebat Græcorum laborem:
Sed alii eorum mortuam, ex manibus

Ο δ' οὐ θέλων) τὸ ἑξῆς, οὐ θέλων οἴκτῳ καὶ συμπαθείᾳ τῆς κόρης, τέμνει τὸν λαιμόν. ἐκ τούτου γὰρ πνεῖ τε καὶ ἀναπνεῖ τὸ αἷμα. Διαρρόας) τοῦς ἀρτηρίας, καὶ φλέβας τοῦ τῆς ἀναπνοῆς. διαρρόαι πνεύματος αἱ φλέβες, ἐν αἷς τὸ αἷμα διέρχεται ἐκ τῆς ἀρτηριῶν. διαφέρει δὲ ἀρτηρία φλεβός. τῆς τοῦ μὲν ἀρτηρίαν ἔχειν πνεῦμα πολύ, καὶ ἀπό κάτω κεῖσθαι τῆς φλεβός, αἷμα δὲ ὀλίγον. τοῦ δὲ φλέβα, αἷμα μὲν πολύ, καὶ ἄνω κεῖσθαι τῆς ἀρτηρίας, πνεῦμα δὲ ὀλίγον. Κρουνοὶ) σταλαγμοὶ δὲ τὸ αἷμα τοῦ, καὶ ἐκχυσις τοῦ πνεύματος. ἢ δὲ καὶ τοῦ ἀποθνήσκουσα, τοῦ μὴ θέλειν εἶχεν, ὡς τι ἀφρεπῶς καὶ ἀχήμως πεσεῖν καὶ κρύπτειν, ἃ τοῦ τοῦ κρύπτειν τὰ ὄμματα τῶν ἀρρένων. Τὸ κρύπτω μετὰ αἰτιατικῆς λέγεται καὶ τοῦς τὸ τοῦ σῶμα, καὶ τοῦς τὸ τοῦ γμα, ὡς κρύπτω σε τὴν ἐμαυτοῦ βυβλίον. Κρύπτειν δ' ἃ κρύπτειν ἐκ ὀλίγου πειρασθέντες ἀμελεῖσθαι τὸ χρεῖον τοῦτο, ὥστε τὴν ἀπεχοντο τοῦ τ' ἀληθὲς εἰπεῖν ἐξευρεῖν, ὅσον αὖ εἰ μὴ δὲ τὴν ἀρχὴν ὑπεκχαρικότας φανῆναι κτ' γνώμην σφίσιν ἐπῆλθε. δυοῖν γὰρ οὐσῶν τῶν αἰτιατικῶν, καὶ τὸ ῥηθοῦ καθεστῶτος ἐντεῦθεν ἐν σκότῳ βουλόμενοι συντεταχέναι, ἀναλαγάς τι ἐχρήσαντο, καὶ τοθέσεσιν ἔξωθεν, εἰς ἃ χρεὼν τὰ ὄμματα τῶν ἀρσένων κρύπτεσθαι φάσκοντες. ἐγὼ δὴ οὔτ' ἐκείνοις μεμφόμενος, καὶ τὸ δοκοῦν εἰπὼν ἐμαυτῷ, οἶμαι αὖ πάντα, ὅσοις ὀρθότητος ἐν λόγοις μέλει, ἐκ τοῦ ἀθέως ἀκούσαντας, ἡμῖν τῶδ' οὕτως ἔχειν ψηφίσασθαι. λέγων γὰρ ὁ Ταλθύβιος τὰ τοῦ τῆς κόρης, εἶτα ἐπήνεγκεν· ἡ δὲ καὶ θνήσκουσα, ὅμως τοῦ νοῦ εἶπε ἀχήμως πεσεῖν, καὶ κρύπτειν ἐκεῖνα ἃ χρεὼν ὄν κρύπτειν τὰ ὄμματα τῶν ἀρσένων. ὥσπερ γὰρ ἀφαιρῶ σε τὴν χλαμύδα φαιδῆ, καὶ στρῶ σε τὸ ἀρχύριον, εἶτα καὶ ἀμφοτέρα αἰτιατικῇ, καὶ ὁ ἀφαιρούμενος, καὶ ὁ ἀφαιρεῖται, καὶ ὁ στρούμενος, καὶ ὁ στρεῖται, οὕτω καὶ κρύπτω σε τὸ δὲ λέγεται,

ἔχων τίς κτῆμα, καὶ μόνος βουλόμενος ἀπολαύειν, κρύπτει τοῦτο τοῖς ἄλλοις. καὶ ἡ Πολυξένη γυνὴ οὖσα, εἰ καὶ τὸν θεὸν τοῦ θανεῖν ἔδει, ἀλλ' οὖν θεόνοιαν εἶχεν ἀγαμόνως ποιεῖν, καὶ τὰ αἰδοῦς ἄξια κρύπτειν, ἃ πρέπον ὄντι κρύπτειν παῖς παρθένος αἰδοῦς ὄψις, καὶ μὴ δεικνύναι. μαρτυρεῖ δὲ τούτου ἄλλα τε πολλὰ, καὶ τὸ τοῦ Σοφοκλέους. οὐ γὰρ σε δεῖ κρύπτειν με ἔπ. καὶ ἄλλος· μήτι με κρύψης τοῦτο, ὅσῳ μέλλω παθεῖν. Ἐπεὶ δ' ἀφῆκε] ἐπεὶ δὴ ἐξέπνευσε τὸν ψυχὸν ὑπὸ θανατηφοῦς σφαγῆς, οὐδεὶς ὑπὸ τῶν Ἀργείων εἶχε τὸν ὁμοίαν ἐργασίαν. ἀλλ' οἱ μὲν αὐτῶν ὑμνοῦντες αὐτὸν διὰ τὸ ἀθαρσὲς καὶ θύψυχον, φύλλοις καὶ ἀνθεσιν ἔβαλλον.

Φύλλοις ἔβαλλον. οἱ δὲ πληροῦσι πυρὰν
Κορμοὺς φέροντες τοῦ κίνους. ὁ δ' οὐ φέρων, 575
Πρὸς τὸν φέροντος τοιάδ' ἤκουε κακά.
Ἔστηκας ὦ κάκιστε, τῇ νεανίδι
Οὐ πέπλον, οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;
Οὐκ εἴ τι δώσων τῇ θείᾳ θ' καρδίᾳ,
Ψυχήν τ' ἀείσῃ; τοιάδ' ἀμφὶ σῆς λέγον 580
Παῖδος θανούσης. θ' τεκνοπάτωρ δέ σε
Πασῶν γυναικῶν, δυσυχεστάτην ὁρᾶ.

Frondibus petebant: alij verò implent pyram
Stipites adferentes pineos. qui verò nihil adferebat 575
Ab adferente talia audiebat conuitia:
Stas ô ignauissime, ad honorem huius puellæ
Neque peplum neque ornatum in manibus habens?
Non vadis aliquid daturus valde animosæ
Generosissimæque? Talia verò de tua dicebant 580
Filia mortua. felicissimam verò prole te
Omnium mulierum, infelicissimam video.

Φύλλοις ἔβαλλον) Εὐριπιδείνης φησὶ περὶ τῆς υλλοβολίας, ὡς πάλαι χωρὶς ἄθλων ἀγωνιζομένων αἰθρώπων, τὴν νικήσαντα καθάπερ ἔθαπτον εἰσφέροντες ἐρρίπτον τοῦ θεατῶν, ὅπως ἕκαστος ἀπόρει. διὸ δὴ συνήθες ἐγίνετο κύκλῳ περιπορθούμενον, ἐπαγείρειν καὶ λαμβάνειν τὸ διδόμενον. οἱ μὲν οὖν ἐμπορθούμενοι διάφορα δῶρα τῶν λοιπῶν, οἱ μὲν ἐγγὺς καθήμενοι, στεφάνοις ἐπεπίθεσαν. οἱ δὲ αἰωτέρω, πόθεν ὅπερ ἦν λοιπὸν, ἔβαλλον τοῖς ἄνθεσι, καὶ φύλλοις. καὶ νῦν μὲν ὅτι τοῖς ὁπφανῶς ἀγωνιζομένοις, περιβάλλουσι ζώνας, πέπλα, χιτωνίσκους, πεπάσσεις, κρηπίδας. διὸ συνήθες κύκλῳ περιστοῦντας ἀγείρειν τὰ διδόμενα. ἕως μὲν οὖν ἐναγώνισμα κατ' τὸν ὀλυμπίαν ἦν, δαψιλῆς ἐγίνετο ἡ τοῦ δωρεῶν δόσις. πολυπλασιαζομένοις δὲ πόποις, τοῦτο ἐμειοῦτο εἰς πολλὰ καταμειζόμενα. καὶ τέλος ἡ φυλλοβολία κατελέφθη. Τοῦτο οὖν περὶ τοῖς χρόνοις Εὐριπίδου. ὁ γὰρ ποτε ὁ ἀγερμὸς τῆς φυλλοβολίας ἀπεδείχθη. φυλλοβολεῖται ὑπὸ τῆς Πολυξένης, ὥσπερ ἐν ἀγῶνι νικήσασα. ἐφυλλοβολοῦτο γὰρ μετὰ τὸ νικῆσαι, καθὰ καὶ περιέρηται. Οἱ δὲ] τινὲς ὑπὲ πλήρουν τὸν τάφον, βαστάζοντες δάδας ἐκ πθύκης. ὁ δὲ μὴ φέρων, πρὸς τὸν φέροντος τοιάδε κατηγορίας ἤκουε. ἔστηκας ὁ κάκιστε, οὔτε πέπλον, οὔτε καλλωπισμόν τινα διὰ χειρὸς φέρων ὑπὲρ τῆς νεανίδος, καὶ χάριν τῆς νεανίδος; οὐ πρθύσῃ δώσων τι τῇ μεγαλοψύχῳ καὶ ἀκαρδίῳ θεωτῶς; καὶ κατὰ τὸν ψυχὴν ἀνδρείᾳ; τοιαῦτα ἔλεγον περὶ τῆς θυγατρός σου ἀποθανούσης, τὸν ἀγονωτάτην δὲ πασῶν γυναικῶν, ἀθλιωτάτην βλέπω. Οὐκ εἴ τι δώσων) οἱ μὲν λέγουσι τὸ εἰ, αἰτιατικὸν

πρθύσῃ. οἱ δὲ, αἰτιατικὸν ὑπαρκτικὸν. οὕτως, Οὐκ δώσῃς. περιφερόμενος ὁ Ἀτικὴ, βέλτιον δὲ τὸ εἰ καὶ οὐχ ὑπαρκτὸς δώσων τι, τουτέστιν οὐ θεωρῶν.

Χο. Δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσε,
Πόλει τε τῇ μῇ. θεῶν ἀναγκαῖον τόδε.
Εκ. Ὦ θύγατερ, οὐκ οἶδ' εἰς ὅ, τι βλέψω κακῶν 585
Πολλῶν παρόντων. τὸν δ' ἄψομαι τινός,
Τόδ' οὐκ ἐᾷ με. τὸν δ' καλεῖ δ' ἐκεῖθεν αὖ
Λύπη τις ἄλλη, δεύτερος κακῶν κακός.
Καὶ νῦν τὸ μὲν σὸν ὥστε μὴ στένειν παθεῖν,
Οὐκ αὖ δυναίμην ἐξαλείψασθαι φρενός. 590
Τὸ δ' αὖ λίαν παρεῖλες, ἀγγελθεῖσά μοι
« Γενναῖον. Οὐκοῦν δεινὸν, εἰ γῆ μὲν κακή,
« Τυχοῦσα καιροῦ θεόθεν, εὐσταχυν φέρει,
« Χρηστὰ δ' ἁμαρτοῦσ' ὧν χρεὼν αὐτὸν τυχεῖν,
« Κακὸν διδοῦσι καρπόν. αὐθ' ὁ πονηρὸς δ' ἀεὶ 595
« Ο μὲν πονηρὸς, οὐδὲν ἄλλο πλὴν κακός.
« Ο δ' ἐσθλὸς, ἐσθλός· οὐδὲ συμφορᾶς ὕπο
« Φύσιν διέφθειρ', ἀλλὰ χρηστὸς ἐς' ἀεί·
« Ἆρ' οἱ τεκόντες ἀμφὶ φέρουσιν, ἢ τροφαί;

Cho. Sæua quædam clades Priamidis accensa est,
Vrbique meæ. deorum necessitas *est* hæc.
Hec. O filia: non scio ad quod respiciam malorum 585
Multis præsentibus. quum enim attingo aliquod,
Aliud non sinit me: auocat verò inde rursus
Mœror quis alius successor malorum in malis.
Et nunc tuam quidem ne gemam cladem,
Haud queam delere ex mente. 590
Hoc verò rursus valde mitigasti nuntiata mihi
« Generosa. Non igitur mirum, si terra quidem mala,
« Nacta bonum cælum diuinitus bonam segetem fert:
« Bona verò, frustrata iis quæ conueniebat consequi,
« Malum profert fructum. Inter homines verò semper 595
« Malus nihil aliud quàm malus,
« Bonus autem bonus: neque præ calamitate
« Ingenium perdit, sed bonus est semper.
« Numnam parentes præstant, an educationes?

Δεινόν τι πῆμα) χαλεπὴ, τις αὕτη βλάβη τοῦ θεοῦ. ἤγουν ἧς αἴτιοι οἱ θεοὶ, ἀπαραίτητος. λέγει δὲ τὸν ἑαυτοῦ ἄλωσιν, ἐπῆλθε τοῖς Πριαμίδαις, καὶ τῇ πόλει τῇ ἐμῇ. τὸ δὲ ἐπέζεσεν, αἰτιατικὸν ἐπήρθη, καὶ ἠυξήθη, ἀπὸ μεταφορᾶς τοῦ ζέοντος ὕδατος ἐν τοῖς λέβησι, καὶ ἐπαιρομένου ἐν τῷ ζέειν. Ὦ θύγατερ οὐγινώσκω εἰς ὅπερ τοῦ κακῶν θεάσομαι πολλῶν ὑπαρχόντων. ἐὰν δὲ προσεγγίσω τινός, τὸ ἕτερόν με οὐκ ἀφίησιν. ἐφέλκεται δὲ ἀπὸ τοῦ ἑτέρου μέρους διάδοχος, κακῶν πρεσβύτερον δη

Universidad de Deusto
Biblioteca

λογοῦ κακοῖς ἑτέροις ἐπιγραμμένοις, καὶ γνῶ τὸ μὲν σὸν πάθος οὐκ ἂν δυναίμην ἐξαλείψαι ἀπὸ τῆς φρενὸς, ὥστε μὴ γένεσιν αὐτῷ δηλονοῦν. τὸ δὲ λίαν γένεσιν ἐμὲ, καὶ θρῴσκειν ἀφεῖλες ἀγγελθεῖσα μοι γυναῖα, καὶ μεγαλόψυχος. Οὐκοῦν δεινὸν οὐ θαυμαστὸν φησὶν, ὅταν κακὴ γὴ τυχοῦσα ἀκρασίας αἔρων, τάχιον φέρῃ καλόν. ἡ δὲ ἀγαθὴ τοὐπὶ ἀποτυχοῦσα, καρπὸν κακὸν φέρῃ. οὐ δὲ τοῖς ἀνθρώποις τοῦτο ὃν ἔστιν ἰδεῖν, ὅτι τὸ ὂν φύσεως οὐ μεθίσταται. ὁ γὰρ κακὸς ἀεὶ κακὸς ἔστι, καὶ ὁ ἀγαθὸς ἀεὶ ἀγαθὸς, κἂν ἀτυχήμασι πεσεῖσι. τοῦτο δὲ φησὶ, θαυμάζουσα τὴν Πολυξένην. Ἀρ' οἱ πικόντες] ὥσπερ ἀπορουσα ἡ Ἑκάβη τοῦτο φησὶν, ἆρα τὸ γηρᾶσθαι τινὰ ἀγαθῶν γονέων σωτηρίαν τοῦ τὲ ἔτι) τοῦ χρηστὸν, ἢ τὸ παῖδ' δοῦναι, καὶ ἀγρεγῆς οὐκ ἀγθηνοῖς λαχεῖν. ἐν δὲ τῷ λέγειν, ἔχει δή τι καὶ τὸ τραφῆναι καλῶς δίδαξιν ἐσθλοῦ, φαίνεται τὸ μὲν τῶν γονέων τροφὴν, τὸ δὲ τῆς παῖδ' δύσεως ἐν δευτέρῳ τίθεσθαι. Ἀρ' οἱ πικόντες] ἆρ' οἱ πικόντες διαφορὰν ἔχουσιν, ἢ τοι τὴν ἐναλλὰξ ποιοῦσιν, ἢ αἱ αἱ αὐτοφαί.

"Εχει γέ μὲν τοι καὶ τὸ θρεφθῆναι καλῶς, 600
« Δίδαξιν ἐσθλοῦ. τοῦτο δ' ὦ τις εὖ μάθοι,
« Οἶδε τόγ' αἰσχρὸν, κανόνι τῷ καλοῦ μαθών.
Καὶ ταῦτα μὲν δὴ νοῖς ἐτόξευσεν μάτην.
Σὺ δ' ἔλθε, καὶ σήμηνον Ἀργείοις τάδε.
Μὴ θιγγάνειν μου μηδέν', ἀλλ' εἴργὲν ὄχλον 605
« Τῆς παιδός. Εν γὰρ μυρίῳ στρατεύμασι
« Ἀκόλαστος ὄχλος, ναυτικὴ τ' ἀναρχία,
« Κρείσσων πυρός· κακὸς δ' ὁ μή τι δρῶν κακόν.
Σὺ δὴ' αὖ λαβοῦσα τεῦχος, ἀρχαῖα λάτρι,
Βάψασ', ἔνεγκε δεῦρο, ποντίας ἁλὸς 610
Ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμὲ,
Νύμφιον τ' ἄνυμφον, παρθένον τ' ἀπάρθενον,

« Habet equidem quodammodo & educatio honesta 600
« Doctrinam honestatis. Illud verò siquis bene didicerit,
« Nouit quoque turpe, ex regula honesti cognoscens.
Et hæc quidem mens eiaculata est frustrà.
Tu verò vade, & indica Argiuis hæc:
Ne attingat meam quisquam, sed arceant multitudinem 605
« A filia. In infinito enim exercitu
« Indomita turba, nauticáque licentia
« Violentior igne. malus verò *habetur* qui non aliquid facit mali.
Tu autem accipiens vrnam, antiqua ministra,
Intingens, adfer huc, marino salo 610
Vt filiam lauacris postremis meam,
Sponsam sine sponso, virginémque non virginem

Εχει γέ τι] αὐτὴ τὸ παρέχει καλόν τι καὶ τὸ ἀναστρεφῆναι καλῶς, δίδαξιν καὶ γνῶσιν ἀγαθοῦ. τὸ δὲ, ἤτοι τὸ καλῶς ἀναστρεφῆναι, ἢ τὸ ἐσθλὸν, καὶ μάθοι τις καλῶς, οἶδε τὸ ἀστρεπὲς, μαθὼν τὴν διδασκαλίαν τοῦ καλοῦ. καὶ ταῦτα μὲν ἐν νοῖς ἀπέρριψε μάτην. σὺ δὲ ὁ Ταλθύβιε ἄπελθε, καὶ εἰπὲ τοῖς Ἀργείοις τάδε, μὴ ἅπτεσθαι τῆς παιδός μου μηδένα, ἀλλὰ κωλύειν καὶ ἀποσοβεῖν τὸν

ὄχλον. ἐν γὰρ πολλῷ στρατεύματι, ὄχλος ἀκόλαστος καὶ ἀταξία, ἡ ναυτικὴ τε ἀναρχία καὶ καὶ ἀνυπαξία, κρείσσων καὶ ἰσχυροτέρα πυρός. Κακὸς δὲ ὁ μή τι δρῶν) κακὸς ὀνομάζεται τοῦτο τοῖς ναύταις, ὁ μὴ σπὼ αὐτῆς δρῶν τὶ κακὸν, ἢ ὡς οὐχ ἑπόμενος αὐτοῖς, καὶ τὰ αὐτῶν τοιαῦτα ἀρίστα. σὺ δὲ ὦ δούλη παλαιὰ, λαβοῦσα τὸ ἀγγεῖον βάψασα, ἄγειν γεμίσασα, κόμισον ὧδε, ὕδωρ δηλονότι, ἀπὸ τοῦ ὠκεανοῦ μέρους τῆς θαλάσσης. ἵνα τὴν ἐμὴν τὴν κακόνυμφον νύμφιον, καὶ κακοπάρθενον παρθένον λύσω ἐν λουτροῖς πανυστάτοις. Βάψασα) βάπτειν δεῖ τὸ χαλᾶν τὶ εἰς ὕδωρ, ἢ εἰς ἕτερόν τι ὑγρόν. ὅμοιον δὲ τοῦτο τὸ ἔφαγε τοῦ ἄρτου, καὶ ἔπιε τοῦ οἴνου. Παρθένον τ' ἀπάρθενον) οἱ τὸ ἀπάρθενον, αἰτὶ τοῦ κακοπάρθενον φασὶν. ἐμοὶ δὲ οὐχ ὅτω δωκεῖ, ἀλλ' εἰ ποῦσα νύμφην τ' ἄνυμφον, νύμφην μὲν ὡς μνηστευθεῖσ' ὦ Ἀχιλεῖ, ἄνυμφον δὲ ὡς τὴν μνηστείας μὴ τελεσθείσης. ἐπιγαγὲ πρὸς μὲ τὴν νύμφην. τὸ ἀπάρθενον. πρὸς δὲ τὸ ἄνυμφον, τὸ παρθένον.

Λούσω· προθῶμαί θ' ὡς μὲν ἀξίαν, πόθεν;
Οὐκ ἂν δυναίμην· ὡς δ' ἔχω. τί γὰρ πάθω;
Κόσμον τ' ἀγείρασ' αἰχμαλωτίδων πάρα, 615
Αἵ μοι πάρεδροι τῷδ' σ' ἔσω σκιωμάτων
Ναίουσιν, εἴ τις τοῖς νεωστὶ δεσπότης
Λαθοῦσ' ἔχει τι κλέμμα τῷδ' αὐτῆς δόμων.
Ω σχήματ' οἴκων, ὦ ποτ' εὐτυχεῖς δόμοι,
Ω πολεῖς ἔχων, κάλλισά τ' εὐτεκνώτατε 620
Πρίαμε, γεραιά τ' ἡδ' ἐγὼ μήτηρ τέκνων.
Ως εἰς τὸ μηδὲν ἤκομεν, φρονήματος
Τοῦ πρὶν στερέντες. εἶτα δὴ τ' ὀγκούμεθα,
Ο μὲν τις ἡμῶν, πλουσίοις ἐν δώμασιν,

Lauem: proponámque vt quidem digna est, vnde?
Non possum: *faciam* vt possum. quid enim agam?
Ornatum colligens à captiuis mulieribus 615
Quæ mihi assistentes hæc intro tentoria
Habitant: si quæpiam nouos dominos
Latens, habet quoddam furtum ex sua domo.
O species ædium, ô olim felix domus,
O plurima tenens pulcherrimáque, felicissime liberis 620
Priame, anúsque ego mater liberorum,
Quàm ad nihil deuenimus, superbia
Priori spoliati? Deindè tamen tumescimus:
Aliquis quidem nostrum diuitibus in domibus,

Προθῶμαι πρὸς τὸ μέσον θήσω, ὡς μὲν ἀξία ἐστὶ δηλονότι. πόθεν, οὐδαμῶς δυναίμην. τὸ πόθεν, καὶ τὸ οὐδαμῶς ταυτὸ σημαίνει, διαφέρουσι δὲ κατὰ τοῦτο, ὅτι τὸ μὲν πόθεν, ἐμφαίνει ἐρώτησιν τινά. τὸ δὲ οὐδαμῶς, πλείαν ἀποφασιν. ὡς δὲ ἔχω καὶ δυνάμαι ποιήσω. πόθεν ταῦτα λέγει, ἀποβλέπουσα πρὸς τὴν παρεδρεύουσαν αὐτῇ θεσσαλὴν αἰχμαλωτίδα, καὶ τὴν τῶν γυναικῶν ἀπειρίαν. σὺ δὲ ὁ ποιῶν τὶ, πάρεδρον τινὰ, κατ' αὐτὸ τὸ ποιεῖν, κόσμον ἀγείρας, καλλωπισμὸν ἀγείρασα πρὸς τὴν αἰχμαλω-

ὕδωρ, αἱ οἰκοῦσιν ἔνδον τῶνδε τῆς σκιωῶν, σύν-
οικοι ἐμοί. ἐαν τις λαθοῦσα τις νεωστὶ δεσπότις,
ἤγουν τοῖς Ἑλλῆνας, ἔχῃ τι κλέμμα ἀπὸ τῆς ἑαυ-
τῆς δόμων, κόσμον τῆς αἰχμαλωτίδων λέχη,
χρυσία ἱμάτια, καὶ ἄλλ' ἄττα, ἵνα δὴ μή τις αὐ-
τῇ ἐναντιωθῇ, ὡς αἰχμαλώτιδες, οὐδὲν οὐδ' ὁ-
τιοῦν κέκτηται φησὶν, εἴ τις ἔλαθε τοῖς ἑαυ-
τῆς δεσπόταις ἔχων τι τῆς οἰκείων, κλέψασα τῦτο
τοῖς δεσπόταις, καὶ μὴ ὑπὸ ὀκείνων ἀφαιρεθεῖσα. Ω χρῆματ' οἴκων) ὦ καλλωπισμοὶ τῆς οἴκων, ὦ δόμοι οἱ ποτὲ δυτυχεῖς, ὦ Πείαμε δυτεκνώτατε, ὁ ἔχων πλεῖστα, καὶ πολλὰ, καὶ κάλλιστα, ἡ γεραιά τε ἐγὼ αὐτὴ ἡ μήτηρ τῆς τέκνων, λίαν ἤλθομεν εἰς τὸ μηδὲν, στερηθέντες τῆς τοιούτου ἐπαρσεως, εἶτα δῦπα καὶ ἐπαιρόμεθα, ὁ μὲν τις ἐν δώμασι πλουσίοις, ὁ δὲ τῖμος κεκλημένος ἐν πολίταις. τὰ δὲ ὁ πλοῦτος καὶ τὸ τοιαῦτα, οὐδὲν εἰσὶ δηλονότι, μάτην αἱ φροναὶ τῆς λογισμῶν. καὶ ἡ μεγαλορρημοσύνη. ὀκεῖνος δὲ ὅστις ἀτυχέσαπος, ᾧ τινι καθ' ἡμέραν, ἤγουν κατὰ τὸν χρόνον, μηδὲν ὑπάρχει κακόν. Αλλως. ὦ χρῆματ' οἴκων. ἀποδοῦσα ἡ Εκάβη τοῦς τὴν τοιαύτην αὐτῆς τύχην, καὶ τὸν νῦν δουλείαν, φησὶ, τῆς πραγμάτων ὄντως ἐχόντων, καὶ ὅ μὲν τοιοῦτον ἀδάιμονος, νῦν δυσυχεῖς, ὅ δὲ πρὶν δυσυχεῖς, νῦν ἀδάιμονος. εἶτα ἐπαιρόμεθα, ὁ μὲν ἐν πλούτῳ, ὁ δὲ ἐν πολλῇ τιμῇ. ταῦτα δὲ πάντα, ὅ, τε πλοῦτος, καὶ ἡ δόξα, τάτ' ἄλλα τοιαῦτα, οὐδέν ἐστιν, ἄνω καὶ κάτω τῆς τύχης Εὐρίπου δίκην ἰούσης. τὸ δὲ εἶτα, ἢ κατ' ἐρώτησιν, ἢ ἀποφαντικὸν, καὶ συλλογιστικὸν, τὸ δὲ ἄλλως φρονοῦσιν, βουλεύματα, ἤτοι διανοήματα. τουτέστι ματαίως φρονοῦσι περὶ τούτων οἱ ἄνθρωποι. τὸ γὰρ φρονοῦσιν βουλεύματα, ἀντὶ τῦ φρονοῦσι, τοῦ φερφερστικῶς.

Ο δ' ἐν πολίταις τίμιος κεκλημένος. 625
« Τάδ' οὐδέν. Αλλως φρονοῦσιν βουλεύματα,
« Γλῶσσης τε κόμποι. Κεῖνος δ' ὀλβιώτατος
« Οτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν.

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. 1 Εμοὶ χρῆν συμφορὰν,
2 Εμοὶ χρῆν πημονὰν γενέσθαι. 630
3 Ιδαίαν ὅτε τοῦτον ὕλαν
4 Αλέξανδρος εἰλατίνων

Alius verò inter ciues pretiosus vocatus. 625
« Hæc nihil *sunt* quàm *mania* curarum consilia
« Linguæque iactantiæ. Ille verò felicissimus
« Cui de die in diem nihil accidit mali.

EPODICA.

Strophe.

Cho. 1 Mihi oportebat infelicitatem,
2 Mihi oportebat cladem accidere. 630
3 Idæam quando primùm syluam
4 Alexander abietinam

Εμοὶ χρῆν συμφορὰν] ἤτοι ἀπέκειτο γενέσθαι βλάβην, ἐξ ὀκείνου τῦ καιροῦ δηλονότι, ὅτε κατὰ τὸν ἀρχαῖον ἔκοψεν ὁ Αλέξανδρος ὕλην ὀπὸ ἐλάτης δένδρων, πλεῦσαν δὴ τὸ κῦμα τὸ θαλάσσιον δι' ἀπὸ λέκτρα τῆς Ελένης, τὸν ὡραιοπέτην ὁ λαμπρὸς βλέπει ἥλιος. πόνοι γὰρ καὶ εἰς ἀγκαὶ ὀδυκρατέστεροι τῶν πόνων κυκλῦσιν, ἡμᾶς δηλονότι. κοινὸν δὲ κακὸν ἀφανιστικὸν ἐξ ἰδίας μανίας ἐπῆλθε τῇ Τροϊκῇ γῇ. συμφοραί τε, ἀπ' ἄλλων συμφορῶν δηλονότι. ἐκρίθη δὲ, αἰδὶ τῦ διεκρίθη ἡ ἔρις. Αν) ἀπὸ τῦ δι' ὧν ἔριν ἐδίκασεν ἐν τῇ Ιδῃ παῖς Ῥέας θυγατέρας τῶν θεῶν ὁ βυκόλος Αλέξανδρος, ὅτε

Ὦ τλῆμον, ὡς σοι) ὦ ἄθλιε, δυσβάστακτά σοι λίαν πέπρακται κακὰ καὶ σοὶ τοῦ πράξαντος δηλονότι αἰσχρὰ, χαλεπὰ τὰ ὀπίτιμα, ἤγουν τὰς τιμωρίας ἔδωκεν ὁ θεὸς, ὅςπερ ἐστί σοι ἐπαχθὴς καὶ κακοποιός. Αἰαῖ, ἰὼ Θρῄκης.] καὶ τὰ τοιαῦτα κῶλα ὁμοία ὀξὶ τοῖς ἰαμβείοις, μονοστροφικὰ, καὶ μετρικὰ ἅπαντα. εἰσὶ δὲ τὰ κῶλα τῆς ὅλης στροφῆς κβ. τὸ α ἰαμβικὸν μονόμετρον. τὸ β ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον, τείμετρον, καταληκτικὸν, ἐξ ὀλιγοτείου α καὶ ἰωνικοῦ ἀπὸ μείζονος, μονόμετρον, τείμετρον, καταληκτικὸν, ἐξ ὀλιγοτείου α ἰωνικῶ ἀπὸ μείζονος, καὶ ἀμφιβραχέος. τὸ γ προσωδικὸν δίμετρον βραχυκαταλήκτον, ἐξ ἰωνικῶ ἀπὸ μείζονος χοριαμβικῶ πενθασυλλάβου καὶ ἰάμβου, διὰ τὸ ἀδιάφορον. τὸ δ ἰαμβικὸν πενθημιμερὲς. τὸ ε ὅμοιον τῷ δ, ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τῷ γ ποδὸς ἀναπαίστου. τὸ ζ δακτυλικὸν δίμετρον. καθὸ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικὰ, ὡς φασὶν οἱ μετρικοί. τὸ η ἰωνικὸν ἀπ' ἐλάττονος ἡμόλιον. εἰ δὲ βούλει, παιωνικὸν· τὸ θ ἰαμβικὸν δίμετρον ἀκαταλήκτον, ὅμοιον τῷ ε, τῷ γ ποδὸς ἀναπαίστου. τὸ ι ἰαμβικὸν μονόμετρον. τὸ ια ἰαμβικὸν ἑφθημιμερές. τὸ ιβ δίμετρον ἀκαταλήκτον. καλεῖται δ' ταῦτα, ὡς Ἡφαιστίων φησὶν, ἀνακρεόντεια καὶ ἀμφότερα. τὸ ιγ τρίοδος. δύο γάρ εἰσι βραχεῖοι, καὶ δύο ἴαμβοι. καὶ καλεῖται τοῦτο τὸ κῶλον πρίοδος. εὕρηται δὲ καὶ ἀντιδεδραμμένον. τὸ ιδ χοριαμβικὸν ἡμόλιον, ἐκ χοριάμβου καὶ ἀντισπαστείου. εἰ δὲ βούλει δακτυλικὸν ἑφθημιμερὲς, ὃ καλεῖται ἀλκμανικόν. τὸ ιε βραχυκὸν δίμετρον ἀκατάληκτον. τὸ ιϛ ἀσυνάρτητον, ἐκ βραχυκῆς καὶ ἀναπαιστικῆς βάσεως. τὸ ιζ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων τετάρτων δύο. τὸ ιη βραχυκὸν ἑφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον. ἢ λυκόφρον. τὸ ιθ δακτυλικὸν ἑφθημιμερὲς ἀλκμανικόν. τὸ κ ἰαμβικὸν ἑφθημιμερὲς τῷ α ποδὸς ἀναπαίστου. τὸ κα παιωνικὸν τείμετρον βραχυκατάληκτον, ἐκ δύο παιώνων τετάρτων τῷ α πενθασυλλάβου, καὶ βραχέος. τὸ κβ χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς ἐκ χοριάμβου καὶ κρητικοῦ ὅλη

πᾶς ἀπὸ θέπτι τῶθ ἀγραφος, ὅθι τῷ τέλει κορωνίς. Ἰὼ Θρήκης.] ὦ γῆρος Θρακικὸν ὁπλοφόρον, ὁρμητικὸν εἰς τὸν πόλεμον, καὶ ἀνθουσιαστικὸν, δεισιδαίμονα καὶ κραυγάζοντα ἐπὶ τῷ Ἄρεος. ἰὼ Ἀχαιοὶ, ἰὼ Ἀγαμέμνον, καὶ Μενέλαε, βοῶ φωνῶ, ἔλθετε, ἔλθετε ἕνεκα τῶν θεῶν, ἀκούει τις, ἢ οὐδεὶς κλύων βοηθεῖ, τί βραδύνετε; αἱ γυναῖκες ἔφθειράν με αἱ αἰχμαλώτιδες, χαλεπὰ ἐπάθομεν. οἴμοι ἕνεκεν τῆς ἐμῆς βλάβης. εἰς πῖον μέρος περδυθῶ, εἰς τὸν αἰθέρα ἀπαλλάμενος τὸν ὑψηλὸν αἴξω, εἰς τὸ ἐν ὕψει κείμενον οἴκημα, ἔνθα ὁ ἀείων ἢ ὁ σείριος ἀφίησιν ἀπὸ τῶν ὀφθαλμῶν λαμπηδόνας πυρὸς φλογέας. ἢ αἴξω ἐπὶ τὰς εἰς τὴν πορθμὸν τὴν μελανοχρῶτα τοῦ ἅδου. Ἀπορία. ἀπορεῖσι τινὲς πῶς ἐνταῦθα ὁ Πολυμήστωρ ἀείωνος καὶ σειρίου ἐμνήσθη, καὶ μηδένος ἄλλου τῶν ἄστρων. καὶ φασὶν, ὅτι ἀείωνος ὡς ἐμνήσθη ὡς κυνηγός, ἅτε καὶ αὐτὸς τοῖς πιούσοις χαίρων ὡς βασιλεύς. φασὶ γὰρ οἱ ποιηταὶ τὸν ἀεὶ τοῦ Ωρείωνος, ὡς κυνηγὸς ὤν, ὑπὸ σκορπίου δηχθεὶς ἀνῃρέθη, ὅτι Ἀρτέμιδος ἠράσθη. τὸν δὲ σειρίου ὡς καυστικοῦ. δίκαιος γὰρ ἦν καὶ αὐτὸς τῶν πάθει, καὶ δυσεραίνων ἀνθρώποις, καὶ ἀπολέσθαι ζητῶν.

Λογχοφόρον, ἔνοπλον,
Εὔιππον Ἀρεϊκάτοχον γένος. 1090
Ἰὼ Ἀχαιοὶ, ἰὼ Ἀτρεῖδαι.
Βοᾶ βοᾶ αὐτῶ, βοᾶ.
Ἴτε ἴτε, μόλετε θεοὺς θεῶν.
Κλύει τις, ἢ οὐδεὶς ἀρκέσει; τί μέλλετε;
Γυναῖκες ὤλεσά με, 1095
Γυναῖκες αἰχμαλώτιδες.
Δεινὰ δεινὰ πεπόνθαμεν.
Ὤ μοι ἐμᾶς λώβας.
Ποῖ τραπωμεν; ποῖ πορευθῶ;
Αἰθὴρ ἀμπάμενος οὐράνιον, 1100
Ὑψιπετὴς εἰς μέλαθρον,
Ὠρείων ἢ σείριος
Ἔνθα πυρὸς φλογέας

Hastifera, armata,
Equestris, Marti obnoxia gens. 1090
Io Achæi, io Atridæ.
Clamorem clamorem clamo, clamorem.
Ite ite, venite per deos.
Audit quis? an nemo opem feret? quid cunctamini?
Mulieres perdiderunt me 1095
Mulieres captiuæ.
Grauia grauia passi sumus.
O mihi ob meum exitium.
Quò vertar? quò ibo?
Aërem peruolans cælestem 1100
Altam in domum,
Orion aut Sirius
Vbi ignis flammeos

Ἀφίησιν ὄσσων αὐγάς;
Ἢ τὸν ἐς ἅιδα μελανοχρῶτα 1105
Πορθμὸν αἴξω τάλας;

ΙΑΜΒΟΙ.

Χορ. Σύγγνωθ', ὅταν τις κρείσσονα, ἢ φέρειν, κακὰ
»Πάθῃ, παλαίνης ἐξαπαλλάξαι ζωῆς.
Αγ. Κραυγῆς ἀκούσας ἦλθον. οὐ γὰρ ἥσυχος
Πέτρας ὀρείας παῖς λέλακ' ἀνὰ στρατὸν 1110
Ἀχὼ διδοῦσα θόρυβον. εἰ δὲ μὴ Φρυγῶν
Πύργους πεσόντας ἴσμεν Ἑλλάνων δορί,
Φόβον παρέσχεν οὐ μέσως ὅδε κτύπος.
Πολ. Ὦ φίλτατ' ἠθόμην γὰρ Ἀγαμέμνον σέθεν

Iacit ab oculis radios?
Aut ad Plutonis atrum 1105
Littus ruam miser?

CHORVS.

Cho. Ignoscendum, quando quis maiora quàm ferre *possit* mala
»Patitur, miseram quòd cupiat mutare vitam.
Ag. Clamore audito veni. non enim tranquilla
Rupis montanæ filia insonuit per exercitum 1110
Echo præbens tumultum. Si verò non Phrygum
Turres cecidisse sciuissemus Græcorum hasta,
Terrorem præbuisset non mediocriter hic sonus.
Pol. O charissime (sensi enim ô Agamemnon tua

Πορθμόν.) οἱ μὲν φασὶν ὡς πορθμὸς κυρίως, ἢ μέσον δύο γαιῶν θάλασσα. νῦν δὲ καταχρηστικῶς πορθμὸν τὸν τόπον καλεῖ. ἐγὼ δὲ φημὶ διὰ τὴν Ἀχρουσίαν λίμνην τὸν τόπον λέγεσθαι. καὶ μαρτυρεῖ τὸ προσηγόρευμον ὡς οὐδὲν ἄλλο δηλοῖ τὸ ἐς ἅιδα πορθμὸν, ἀλλ' ἢ πορθμὸν τὸν ἐς τόπον τὸν τόπον τοῦ ἅδου φέροντα. Σύγγνωθ' ὅταν.) αἱ ἑξῆς αὐτῇ τραγῳδοῖ εἰσὶν ἰαμβικῶν τετραμέτρων ἀκαταλήκτων ῥητῶν, ὧν τελευταῖος, ἔχοντ' ἴδοιμι τῶν σ' ἀφέλιμοι πόνων. μετὰ δὲ τὸν δεύτερον κῶλον ὅμοιον μονόμετρον βραχυκαταλήκτον· ὅθι τᾶς ἀποθέσεσι τῶν γράφεται, καὶ ὅθι τῷ τέλει κορωνίς. Σύγγνωθ' ὅταν) ὅταν τις φησὶ πάθῃ κακὰ μείζονα ἢ δύναται βαστάσαι, συγγνωστέον ἐστὶν αὐτῷ τὸ ἐξαπαλλάξαι ἑαυτὸν τῆς ζωῆς. ἄλλως συγγνωστὸν ἔδει εἰπεῖν. ἐκφέρει δὲ πληθυντικῶς, ἀπλῶς. καὶ τοῦτο ζητῶν βύρησις τραγῳδῶν πᾶσι καὶ ποιηταῖς καὶ λογοποιοῖς. ἡ δὲ σιωπαξις, ὅταν πάθῃ τις κακὰ κρείσσονα ἢ φέρειν καὶ ὑπομένειν αὐτὰ, συγγνωστά· καὶ συγγνώμης ἄξιον ἐστὶν, ἀπαλλάξαι ἑαυτὸν τῆς παλαίνης ζωῆς· πυτέστιν, ὁ κακοῖς σωῶν ἀφορήτοις, συγγνωστέος ἐστὶν ἀποθανών. τοῦτο δὲ εἶπεν ὁ χορὸς διὰ τὸν Πολυμήστορα, τυφλωθέντα τῶν τέκνων, καὶ τυφλωθέντα, καὶ ἀπολεσόμενον τὸ ζῆν, ἐξ ὧν αὐτὸς αὔθεν τοῦ χοροῦ ἐδήλωσεν εἰς αἰθέρα, ἢ εἰς ἅδου ὁρμῆσαι βουλόμενος. Κραυγῆς ἀκούσας.) τῆς φωνῆς ἀκούσας τραγῳδούμεν. οὐ γὰρ ἠρέμα ἤχησεν ἡ θυγάτηρ τῆς πέτρας ἠχὼ, ποιοῦσα παραχῶ. εἰ δὲ μὴ εἰδείμεν ὅτι ἐπορθήσαμεν τὴν Τροίαν, ἐφοβήθημεν αὐτοῦ μικρῶς, ἔφοβον νομίζοντες τῶν πολεμίων. Οὐ γὰρ ἥσυχος.) βοῆς ἐν ὄρει θορυβώδης, πληθύουσαι αἱ πέτραι αἰτηχοῦσι, διὸ καὶ θυγατέρα πέτρας καλεῖ τὴν ἠχώ. Ὦ φίλτατε) ὑποστροφὴ καὶ ἐπεμβολὴ τὸ ῥῆμα. ἀκούσας τῆς φωνῆς σου ὦ Ἀγάμεμνον αἰδεῖσθαι, βλέπεις ἅ πνα πεπονθαμεν;

Φωνῆς ἀκούσας. εἰσορᾶς ἃ πάσχομεν; 1115

Αγ. Εα Πολυμῆστορ ὦ δύστανε, τίς σ' ἀπώλεσε;
Τίς ὄμμ' ἔθηκε τυφλὸν, αἱμάξας χέρας,
Παῖδάς τε τίς σ' ἔκτανεν; ἦ μέγαν κόλον
Σοὶ καὶ τέκνοισιν εἶχεν, ὅς τις ἦν ἄρα.

Πολ. Ἑκάβη με σὺν γυναιξὶν αἰχμαλωτίσιν 1120
Ἀπώλεσ', οὐκ ἀπώλεσ'. ἀλλὰ μειζόνως.

Αγ. Τί φῆς; σὺ τοῦργον εἰργάσω τόσ', ὡς λέγῃς;
Σὺ τόλμαν Ἑκάβῃ τῷ σ' ἔτλης ἀμήχανον;

Πολ. Ὤ μοι, τί λέξεις, ἢ γὸ ἐγγύς ἐστί που;
Σήμηνον· εἰπὲ ποῦ 'σθ', ἵν' ἁρπάσας χερῶν 1125
Διασπάσωμαι, καὶ καθαιμάξω χρόα.

Αγ. Οὗτος, τί πάσχεις; Πολ. θεὸς θεῶν σε λίσσομαι,
Μέθες μ' ἐφεῖναι τῇδε μαργῶσαν χέρα.

Αγ. Ἰσχει· σκεβαλὼν δὲ καρδίας τὸ βάρβαρον,

Voce audita vides quæ patimur? 1115

Agm. Age, Polymestor ô infelix quis te perdidit?
Quis oculum fecit cæcum, cruentans pupulas,
Filiósque hos interfecit? certè magnam iram
Aduersum te & filios habuit, quicunque fuerit sanè.

Pol. Hecuba me cum mulieribus captiuis 1120
Perdidit. non perdidit: sed amplius.

Agm. Quid dicis? Tu hoc opus fecisti vt dicit?
Tu audaciam, ô Hecuba, hanc suscepisti immensam?

Pol. Hei mihi, quid dicis? Anne prope est alicubi?
Significa. dic vbi est? vt rapiens manibus 1125
Discerpam & cruentem corpus.

Agm. Heus quid pateris? Pol. Per Deum te precor
Sine me immittere huic furentem manum.

Agm. Contine te: eiiciens porro è corde barbariem,

Εα.) ὀκπληκτικὸν, ὦ δύστανε· ὑποκρίνεται ἀγνοεῖν, ἵνα κατὰ τὸ δίκαιον ὑπὲρ τῆς Ἑκάβης εἰπὼν μὴ γνωσθεὶς, ὅπερ προσωμίλησεν αὐτῇ, δόξῃ αὐτῇ χαρίζεσθαι. Ὦ δύστηνε.) ὦ ἄθλιε Πολυμήστορ, τίς ἔφθειρέ σε; τίς ἐποίησε τὸ ὄμμα τυφλὸν, τὰς κόρας τῶν ὀφθαλμῶν αἱματηρὰς πτίσας; καὶ τίς δὲ τοὺς παῖδας τοὺς ἔκτεινεν; ὅστις μέγαν θυμὸν ἐκέκτητο ὅστις τε καὶ τοὺς παῖδας, ὅς τις ἦν ἄρα ὑπῆρχεν. Ἑκάβῃ με) ἡ Ἑκάβη σὺν ταῖς αἰχμαλωτίσι γυναιξὶν ἔφθειρεν. οὐκ ἀπώλεσε μικρῶς, ἀλλὰ μεγάλως, καὶ μεῖζον ἀπωλείας. Τί φῆς.) τοῦ πρὸς τὸν Πολυμήστορα. κατ' ὑπόκρισιν τὸ ῥῆμα. εἶπε πρὸς τὴν Ἑκάβην ἀποστρέφεται, καὶ φησί. σὺ τόδε ὡς λέγεις τὸ ἔργον ἐποίησας, σὺ τὴν τόλμαν ὦ Ἑκάβη τῷ δὲ ἐτόλμησας τὴν ὑπερβολικὴν; Ὤμοι, φεῦ τὸ πρᾶγμα λέγῃς. ἆρα πλησίον ὑπέρ τοῦ ἡ Ἑκάβη, δήλωσον, καὶ λέξον ποῦ ἐστιν, ὅπως ἁρπάσας αὐτὴν διὰ τῶν χερῶν διασπάσω, καὶ αἱματώσω τὸ σῶμα αὐτῆς. Οὗτος τὸ πάθος.) ὦ οὗτος, τί ποιεῖς. Πρὸς θεῶν σε λίσσομαι.] ἕνεκεν τῶν θεῶν σε παρακαλῶ, ἄφες με ἐπαγαγεῖν αὐτῇ τὴν μαινομένην χεῖρα. Ἰσχε.] ἔπεχε σαυτὸν, ἐκβαλὼν τῆς καρδίας τὴν βαρβαρότητα. Τὸ βάρβαρον.) πολλάκις αὐτὸ

σοφίαν. τὸ αὐτοξούσιον, ἤγουν ἡ αὐτεξουσιότης, τὸ θεραπευόμενον, οὗ τὸ σοφὸν τοῦ δεινοῦ, αἰτὸ τοῦ ἡ βάρβαρον αἰτὸ τοῦ ἡ βαρβαρότης.

Λέγ', ὡς ἀκούσας σοῦ τε, τῆς δεῦτ' ἐν μέρει, 1130
Κείνω δικαίως αὖθ' ὅτου πάσχεις τάδε.

Πολ. Λέγοιμ' αὖ. Ἦν τις Πριαμιδῶν νεώτατος
Πολύδωρος, Ἑκάβης παῖς, ὃν ἐκ Τροίας ἐμοὶ
Πατὴρ δίδωσι Πρίαμος ἐν δόμοις τρέφειν,
Τροπαῖος ὢν δὴ Τρωϊκῆς ἁλώσεως. 1135
Τοῦτον κατέκτην· αὖθ' ὅτου δ' ἔκτανά νιν,
Ἀκουσον, ὡς σ', καὶ σοφῇ προμηθίᾳ.
Ἔδεισα μή σοι πολέμιος λειφθεὶς ὁ παῖς,
Τροίαν ἀθροίσῃ, καὶ ξυνοικίσῃ πάλιν.
Γνόντες δ' Ἀχαιοὶ ζῶντα Πριαμιδῶν τινα, 1140
Φρυγῶν ἐς αἶαν αὖθις ἄγοιεν στόλον,
Κἄπειτα Θρῄκης πεδία τρίβοιεν τάδε,
Λῃστοπωλοῦντες. κεἰ τοσοῦτ' εἴη κακὸν
Τρώων, ἐν ᾧπερ νῦν ἄναξ ἐκάμνομεν.

Dic, vt audiens & te & hanc per vices, 1130
Diiudicem iustè, pro quo pateris hæc.

Pol. Dicam sanè. Erat quispiam Priamidarum minimus
Polydorus Hecubæ filius, quem ex Troia mihi
Pater dat Priamus in domibus nutriendum,
Iam suspicans de Troiæ excidio. 1135
Hunc interfeci. quamobrem autem interfeci ipsum,
Audi, quàm bene & sapienti prouidentia.
Metui ne tibi hostis relictus hic puer
Troiam colligeret & habitaret olim:
Resciscentes verò Græci viuere Priamidarum aliquem, 1140
Phrygum ad terram rursus tollerent expeditionem,
Et deinde Thracios campos vastarent hos
Populantes: vicinis verò esset malum
Troianorum, propter quod nunc ô rex laborauimus:

Λεγ' ὡς ἀκούσας.] λέγε μοι, ἵνα ἀκούσας ἀμφοτέρων σοῦ καὶ τῆς Ἑκάβης, κρίνω δικαίως αὐτὴ τίνος ταῦτα μαθάνεις. Λέγοιμ' αὖ.) εἴποιμι αὖ σοὶ δηλονότι, ὑπῆρχε τις ἀπὸ τῶν υἱῶν τοῦ Πριάμου νέος, Πολύδωρος τοὔνομα, υἱὸς τῆς Ἑκάβης, ὃν ἔνα ὁ πατὴρ ὁ Πρίαμος ἔδωκέ μοι ἀπὸ τῆς Τροίας, ἀνατρέφειν ἐν τοῖς ἐμοῖς δόμοις, ὑποψίαν ἔχων τῆς Τρωϊκῆς κρατήσεως. τοῦτον τὸν Πολύδωρον ἐφόνευσα. αὐτὴ δὲ αἰτίας ἐφόνευσα αὐτὸν ἄκουσον. Γροκαπάσασις τὸ ῥῆμα. ἔδεισα ἵνα μὴ ὁ παῖς καταλειφθεὶς, σοὺς ἐχθρὸς, συνάξῃ τὴν Τροίαν, καὶ συνοικίσῃ ἐκ δευτέρου. οἱ δὲ Ἀχαιοὶ μαθόντες ἔνα ἀπὸ τῶν υἱῶν τοῦ Πριάμου ζῶντα, κινήσειαν πάλιν ναυτικὸν εἰς τὴν γῆν τῶν Τρώων, καὶ μετὰ ταῦτα ἀφανίζοιεν ταῦτα τὰ χωρία τῆς Θράκης, λείας ἀπελαύνοντες. τοῖς δὲ γείτοσιν ἡμῖν τῶν Τρώων ὑπάρξῃ κακὸν, ἐν ᾧ κακῷ δρᾶσίν ἐπάρχομεν. ἡ Ἑκάβη δὲ μαθοῦσα τὸν θάνατον τοῦ παιδὸς, τὸν δὲ δόλῳ ἠγαγμένον, ὡς λέγεται τοῖς θησαυροῖς τοῦ χρυσοῦ τῶν

ιῶν τοῦ Πριάμου, κεκρυμμένους ἐν τῇ Τροίᾳ. ἐμὲ δὲ μόνον σὺν τοῖς τέκνοις εἰς τοὺς οἴκους εἰσφέρει, ὅπως μὴ ἄλλος τις ἄνθρωπος γνοίη τάδε. κάθηται δὲ ἐν μέσῳ τῆς κλίνης, κλίνας τὸ γόνυ. πολλαὶ δὲ χεῖρες (ἤγουν γυναῖκες, ἀπὸ μέρους τὸ παῦ, ὡς τὸ πόλιν ὁ κεφαλίν, αἰτὶ τοῦ ἄνδρα) πολλαὶ δὲ κόραι Τρώων παρθένοι ἐκάθηντο, αἱ μὲν ἀπὸ τῆς ἀριστερᾶς, αἱ δὲ ἀπὸ τῆς δεξιᾶς, καθᾶ πιεσθεῖν εἰς φίλους, κρατοῦσαι τὸ ὕφασμα (ἀπὸ οὗ τοῦ ποιοῦντος τῆς κερκίδος, τὸ ποιούμενον ὠνόμασε) τῆς Μακεδονικῆς χειρὸς ἐπήνουν, ὑπὸ τὸ φῶς τοῦ ἡλίου θεώμεναι τάδε τὰ ἱμάτια. ἄλλαι δὲ τὸ Θρακικὸν ἀκόντιον θεωροῦσαι. τοῦτο γὰρ εἶπε κάμακα, μεμονωμένον ἐποίησαν τοῦ διπλοῦ ἐνδύματος, τοῦ ἀκοντίου, καὶ τοῦ ὑφάσματος.

Ἐκάθη δὲ παῖδος γνοῦσα θανάσιμον μόρον, 1145
Δόλῳ με τοιῷδ' ἤγαγ', ὡς κεκρυμμένας
Θήκας φέρουσα Περαμιδῶν ὑπ' Ἰλίῳ
Χρυσοῦ, μόνον ᾗ σὺν τέκνοισί μ' εἰσάγῃ
Δόμοις, ἵν' ἄλλος μή τις εἰδείη τάδε.
Ἵζω ᾗ κλίνης ἐν μέσῳ κάμψας γόνυ. 1150
Πολλαὶ ᾗ χεῖρες, αἱ μὲν ἐπ' ἀριστερᾶς,
Αἱ δ' ἔνθεν, ὡς δὴ τῷδε φίλῳ Τρώων κόραι
Θάκους, ἔχουσαι κερκίδ' ἡδωνῆς χερός.
Ἤνουν θ' ὑπ' αὐγὰς τοιάδε λοῦσαι πέπλους.
Ἄλλαι δὲ κάμακα Θρηϊκίαν θεώμεναι, 1155

Hecuba verò filij quum cognouisset lethale fatum, 1145
Dolo me huiusmodi duxit, tanquam occulta
Receptacula dictura Priamidum sub Ilio
Auri. Solum verò cum liberis me inducit
In domos, vt alius nesciret hæc.
Sedeo verò culcitra in media curuans genu: 1150
Multæ verò manus, illæ quidem ad sinistram,
Illæ verò inde, vtpote apud amicum, Troianorum puellæ
Sedebant, tenentes telam Edonicæ manus,
Laudabant ad lucem hasce spectantes vestes.
Aliæ hastile Threicium spectantes, 1155

Θανάσιμον μόρον.] μόρος οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ ἡ τύχη, ὡς ἔχει καὶ τῶδε. οὐ γὰρ ἔστι λέγειν θανάσιμον θάνατον. Θανάσιμον.) τὰ ὀλέθρια ἢ ἕτερόν τι δηλοῦσι τῶν ὀνομάτων ἐφ' ὧν λέγονται, ἢ τὸν αὐτὸν αὐτῶν ἔχουσι σημασίαν, πρὸς ἀποδιαστολὴν ἑτέρου σημαινομένου λέγεται. ἢ ἑτέραν αἰτίαν ἔχει καθ' ὃν λέγεται, ὡς ἐνταῦθα ὁ θανάσιμος ὀλεθρικῶς λεχθέν. οὔτε ἕτερόν τι σημαίνει ἢ ὁ θάνατος ἐσήμαινεν, οὐ τοῦτο σημαῖνον αὐτῷ πρὸς ἀποδιαστολὴν ἑτέρου σημαινομένου λέγεται. οὐ γὰρ ἔστι ποτὲ θάνατος μὴ θάνατον ἐμποιῶν, οὔτε ἄλλον τινὰ αἰτίαν ἔχει καθ' ὃν λέγεται. ὡς τε ἀρκοῦντος τοῦ θανάτου τοῦ λόγου, τὸ θανάσιμος περιττῶς κεῖται καὶ ποιητικὴν ἐξουσίαν. Πολλαὶ δὲ χεῖρες.) κόραι λέγω Τρώων, ἤγουν νέαι καὶ παρθένοι ἐκάθηντο. αἱ μὲν ἐξ ἀριστερῶν, αἱ δ' ἔνθεν, ἤγουν ἀπὸ τῆς δεξιᾶς. ὡς δὲ τῷδε φίλῳ, κρατοῦσαι τὸν κερκίδα, αἰτὶ τοῦ ὕφασμα τῆς Μακεδονικῆς χειρὸς, ἐπήνουν βλέπουσαι ὑπὸ τὰς αὐγάς, ἤγουν ὑπὸ τὸ φῶς, τίς δὲ τίς πέπλους. Τὸ δὲ χεῖρες καὶ τὸ κόραι ὁμοῦ παρελλήλου. Κερκὶς.) τὸ ὕφασμα ἐνταῦθα, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον. κερκὶς γὰρ κυρίως ὁ ἄτρακτος ἐν ᾧ ὑφαίνουσιν.

Γύμνόν μ' ἔθηκαν διπτύχου στολίσματος.
Οσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλούμεθα,
Τέκν' ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς
Γένοιντο, Δαναοῖσιν ἀμείβουσαι χεροῖν.
Κἀτ' ἐκ γαλίνων, πῶς δοκεῖς, προσφθεγμάτων 1160
Εὐλαβοῦσαν φάσγανα ἐκ πέπλων ποθέν,
Κεντοῦσι παῖδας. αἱ δ' πολεμίων δίκῃ
Ξυναρπάσασαι, τὰς ἐμὰς εἶχον χέρας,
Καὶ κῶλα. παῖσι δ' ἐρεσσαι χρῄζων ἐμοῖς,
Εἰ μὴ πρόσωπον ἐξανιστάμην ἐμόν, 1165
Κόμης κατεῖχον· εἰ δ' κινοίην χέρας,
Πλήθει γυναικῶν οὐδὲν ἴσχυον τάλας.

Nudum me fecerunt duplici ornamento.
Quæ verò parentes erant, obstupefactæ
Liberos in manibus quatiebant, vtque procul à patre
Fierent, successionibus alternabant manus.
Et deinde ex tacitis (quid videtur?) colloquiis 1160
Statim corripientes enses ex vestibus alicunde,
Confodiunt pueros: aliæ verò hostium instar
Corripientes meas tenebant manus,
Et membra. Filiis verò opem ferre volens meis,
Si quidem faciem erigerem meam, 1165
Capillo retinebant: si verò mouerem manus,
Præ multitudine mulierum nihil efficiebam miser.

Διπτύχου.) δίπτυχον στόλισμα λέγει, ἢ τὸν ἀπὸ θεῶν καὶ τὸν πέπλον. ἢ τὸν ἀπὸ θεῶν μόνον, διὰ τὸ εἶναι αὐτὸν δίπτυον. Οσαι δὲ.) ὁπόσαι δὲ ἦσαν τοκάδες, ἤγουν μητέρες, τὰ ἐμὰ παιδία λαβοῦσαι, ὡς ἀεὶ δὴ ὄντα, ἐθαύμαζον ἄλλη τῇ ἄλλῃ αἰὰ μέρος ἀποδιδοῦσαι, ὅπως ἐμοῦ τοῦ παιδὸς πορρωτάτω γένοιντο, καὶ ἀγρέσθαι αὐτῆς. Κἀτ' ἐκ γαλίνων.) καὶ εἶπα ἐκ καλακτυλικῶν καὶ ἡσύχων προσφωνημάτων πῶς νομίζεις, κεντοῦσι τοὺς παῖδας λαβοῦσαι ξίφη ἐκ τῶν ἱματίων. καλῶς δὲ πρόσωπον ἀντὶ πτεριναν τοὺς παῖδας, ἵνα ὁρῶν ὁ πατὴρ αἰῶν. Αἱ δὲ πολέμων) αὐταὶ δὲ ξυλλαβόμεθα ὅπου, ἤτοι δίκῃ ἐχθρῶν, κατεῖχον τὰς ἐμὰς χεῖρας, καὶ τοὺς πόδας. τῆς παῖσι δὲ τῆς ἐμοῖς βοηθῆσαι θέλων ἐγὼ, εἰ μὴ τὸ πρόσωπον ἐξανιστῶν, ἀπὸ τῆς κόμης ἐκεῖναι, ἐκράτουν. εἰ δὲ ἐκίνουν τὰς χεῖρας, ὑπὸ τοῦ πλήθους τῶν γυναικῶν κωλυόμενος, οὐδὲν ἐπλείων ὁ ἄθλιος. τὸ ἔχαπον δὲ βλάβος, τοῦ βλάβους πλέον ὑπῆρχεν. ἐποίησαν χαλεπὸν, πρόνας λαβοῦσαι αἱ γυναῖκες, κεντοῦσι τὰς ἀθλίας κόρας τὰ ἐμῶν ὀφθαλμῶν, τὰ αἱματηρὰς ποιοῦσιν, εἶτα κἀν τοῖς οἴκοις φυγάδες γενόμεθα ἐπορεύθη. ἐκπηδήσας δ' ἐγὼ καθάπερ θὴρ, ἐδίωκον τὰς φονικὰς κύνας, ἐξετάζων καὶ ἐρευνῶν πάντα τὰ τεῖχον καθὰ κινηγὸς, κρούων, τύπτων. ταῦτα ἔπαθον σοῦ χάριν, ἀπολλύζων τὰ ἐχθρόν σου φονεύσας ὦ Ἀγάμεμνον ἵνα ᾖ μὴ εἰς πολὺ ἐκπαμφόνους ἐξαπλῶ τοὺς λόγους, ἐάν τις τῶν παλαιῶν ἐβλασφήμησε τὰς γυναῖκας, ἢ ἀρτίως ὅστις τὰς λέγει κακῶς, ἢ ἀπόκειται λέγειν, ἐγὼ τὰ πάντ' ἐγὼ σωφρόνως καὶ σωφρόνως συλλαβὼν, εἶπα. οὔτε γὰρ θάλασσα οὔτε γῆ αἰαστρέφει τοιόνδε γένος. ὁ δὲ δόλου σωτυχὼν τῷ γένει τῶν γυναικῶν, ὃ λέγω γινώσκει καλῶς. Πλήθει γυναικῶν.] ὑπὸ τοῦ πλήθους τῶν γυναικῶν κωλυόμενος δηλονότι οὐδὲν ἴσχυον, ὁ ἄθλιος.

Universidad de Deusto
Biblioteca

Τὸ λοίσθιόν δὲ πῆμα, πήματος πλέον,
Ἐξειργάσαντο δεινά· ἐμοῦ γὰρ ὀμμάτων
Πόρπας λαβοῦσαι, τὰς παλαιπώρους κόρας 1170
Κεντοῦσιν, αἱμάσσουσιν· εἶτ' ἀνὰ στέγας
Φυγάδες ἔβησαν. ἐκ δὲ πηδήσας ἐγὼ
Θηρῶς, διώκω τὰς μιαιφόνους κυνάς,
Ἅπαντ' ἐρευνῶν τοῖχον, ὡς κυνηγέτης,
Βάλλων, ἀράσσων. τοιάδε σπεύδων χάριν 1175
Πέπονθα τῷ σῷ, πολέμιόν τε σὸν κτανών,
Ἀγάμεμνον. ὡς δὲ μὴ μακροὺς τείνω λόγους,
Εἴ τις γυναῖκας τοὺς πρὶν εἴρηκε κακῶς,
Ἢ νῦν λέγων ἔστί τις, ἢ μέλλει λέγειν,
Ἅπαντα τοῦτο συντεμὼν ἐγὼ φράσω· 1180
»Γένος γὰρ οὔτε πόντος, οὔτε γῆ τρέφει
»Τοιόνδ· ὁ δ' ἀεὶ ξυντυχὼν, ὀδύσατο.
Χορ. Μηδὲν θρασύου, μηδὲ τοῖς σαυτοῦ κακοῖς

Postremò deinde calamitatem plusquam calamitatem
Perpetrauerunt ferociter. meorum enim oculorum,
Fibulas quum corripuissent, infelices pupulas 1170
Fodiunt, cruentant: deinde per tectum
Fugaces abierunt. Exiliens verò ego,
Fera quasi, persequor cruentas canes,
Omnem scrutans parietem quasi venator,
Deiiciens, frangens. Talia dum studeo pro tua gratia 1175
Passus sum, hostem tuum interficiens,
O Agamemnon. vt verò non longos extendam sermones,
Si quis mulieribus ex prioribus dixit malè,
Aut nunc dicens est quis, aut futurus est dicere,
Omnia hæc in compendium ego dicam: 1180
»Genus enim neque pontus neque terra nutrit
»Tale: ille verò semper qui conuersatur, nouit.
Cho. Ne insolescas audacius, neque tuis malis

Τοιάδε σπεύδων.) Τοιάδε πέπονθα ὦ Ἀγάμεμνον, σπεύδων εἰς τὸν σὸν χάριν, καὶ πολέμιον σὸν κτανών. σπεύδω ἐγὼ, ὅπερ σπεύδω δὲ ἕτερον. Μηδὲν θρασύου.) μετριοφροσύνη ἀνῴδα τῷ χρόνῳ. τοῦ γὰρ εἰπεῖν πολλαὶ ἀφ' ὑμῶν εἰσὶ καλαὶ, καὶ μὴ σωφρονήσαι ταῖς καλαῖς ἑαυτὸν, ὅπερ δὲ τῶν κακῶν τὸ πεφύκαμεν, τὸ μέτριον ἀνῴδα ἔδοξεν. τὸ πολλαὶ ἱκανὸν ἴσω, καὶ μόνον πεπλεσμένον πεῖσαι τὸν λόγον. νῦν δὲ ἐπαίνῃ, καὶ τὸ αἰ μέν. καὶ πείσαι τὸν λόγον ὡς ἀπ' ἄλλης ἀρχῆς, ἵνα οἰκειότερον ἀποδοθῇ πρὸς αὐτὸ, τὸ αἱ δέ. Μηδὲν θρασύου.) μηδαμῶς ἐπαίρου, μηδὲ τοῖς σαυτοῦ λόγοις σωφρονῶν καὶ συμμίξας, οὕτως ὅλον τὸ γένος μέμψῃ τοῦ γυναικῶν. πολλαὶ γὰρ ἀφ' ἡμῶν, αἱ μὲν ὑπάρχουσιν ἐπαινεταὶ, καὶ ζηλωταί. ἄλλαι δὲ ἐς τὸν κατάλογον τῶν κακῶν ὑπάρχουσι, ὅπῃ μεμαθοι, καὶ ὕβρεως ἄξιαι. Ἀγάμεμνον ἴσε ἔφερε ποτὲ τὸν γλῶσσαν, ἤγουν τοὺς λόγους τῶν ἀνθρώπων, ἰσχύειν καὶ δυνάσθαι πλέον τοῦ τρόπου. ἀλλ' εἴπερ

ἀγαθὰ ἔφυσεν ὁ ἄνθρωπος, ἀγαθὰ ἔφερε λέγειν. εἴπερ πάλιν ἔδρασε φαῦλα, ἔδει τοῖς λόγοις ὑπάρχειν ἀδυνεῖς, καὶ μὴ δυνάσθαι τὰ ἄδικα ἀλογοποιεῖν ποτέ. σοφοὶ μὲν οὖν ὑπάρχουσιν οἱ τάδε ἀκριβῶς μεμαθηκότες ῥήτορες οἱ δυνάμενοι τὸ δίκαιον σοφίσασθαι ἐν ῥητορικῇ. ἀλλ' ἃ δύνανται μέχρι τέλους ὑπάρχειν σοφοὶ, ὡς τῆς ἀληθείας ἐν ὑστέρῳ φαινομένης, ὡς Ἡσίοδος φησὶ, δίκη δ' ὑπὲρ ὕβριος ἔσται, ἧς τέλος ἐξελθοῦσα. κακῶς δ' διεφθάρησαν, ἐπὶ ὅπου ἀδεῖς ἐς τάδε ἐξέφυγε. Καί μοι τὸ μὲν σὸν, καὶ τὸ μὴ πρὸς σὲ, ἤτοι ὁ πρὸς σὲ λόγος, οὕτως μοι διάκειται ἐν πρεσβυτέροις. πρὸς τοῦτον δ' ἐλεύσομαι, καὶ διὰ λόγου ἀποκρινοῦμαι. πῶς λέγεις τοῖς Ἑλλησι διὰ τοῦ πόνου ἀπαλλάσσων καὶ ἐλευθεροῦν χάριν τῷ Ἀγαμέμνονος τὸν ἐμὸν υἱὸν πεφονευκέναι, ἀλλ' ὦ κακόβουλε, ἐν τῇ φρονήσει μὲν ἀδέποτε τὸ βάρβαρον γένος γένοιτ' ἂν φιλέλληνες τοῖς Ἕλλησιν. οὐδὲ δυνήσεται ἂν γένεσθαι. πάντα δὲ χάριν ἀπουδάζων γένεσθαί σοι, πρόθυμος ὑπάρχεις πρὸς τὸ βοηθῆσαι τοῦτοις ἀεὶ διὰ μαρβρύσσων, καὶ μέλλων συντιθέναι τὸ ἥλιον σωθεὶς ὧδε πᾶν μέμψῃ γένος.

« Πολλαὶ γὰρ ἡμῶν, αἱ μὲν εἰσ' ἐπίφθονοι. 1185
« Αἱ δ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.

Εκ. « Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχρῆν ποτὲ
« Τῶν πραγμάτων τὸν γλῶσσαν ἰσχύειν πλέον.
« Ἀλλ' εἴπερ χρηστ' ἔδρασε, χρηστ' ἔδει λέγειν·
« Εἴτ' αὖ πονηρὰ, τοὺς λόγους εἶναι σωφρονεῖ, 1190
« Καὶ μὴ δύνασθαι τἀδικ' οὖ λέγειν ποτέ.
« Σοφοὶ μὲν οὖν εἰσ' οἱ τάδ' ἠκριβωκότες,
« Ἀλλ' οὐ δύνανται μέχρι τέλους εἶναι σοφοὶ,
« Κακῶς δ' ἀπώλοντο, κοὐδεὶς ἐξήλυξέ πω,

Muliebre æstimans, sic omne reprehendas genus.
« Multæ enim ex nobis aliæ quidem sunt inuidendis virtutibus, 1185
« Aliæ verò ad numerum malarum natæ sumus.
Hec. « Agamemnon, Hominibus non conueniebat vnquam
« Quàm ipsas res linguam posse plus.
« Sed siue bona egit, bona oportebat dicere:
« Siue vicissim mala, sermones esse putidos, 1190
« Et non posse iniusta bene eloqui vnquam.
« Sapientes quidem igitur sunt qui hæc exactè nouerunt:
« At non possunt ad extremum vsque esse sapientes:
« Sed perierunt: nec quisquam euasit adhuc:

Universidad de Deusto
Biblioteca

Καὶ μοὶ τὸ μὲν σὸν, ὥσθ' ἐν φροιμίοις ἔχει. 1195
Πρὸς τόνδε σθ' εἶμι, καὶ λόγοις ἀμείψομαι.
Πῶς φῆς, Ἀχαιῶν πόνον ἀπαλλάσσων διπλοῦν,
Ἀγαμέμνονός θ' ἕκατι παῖσθ' ἐμὸν κτανεῖν;
Ἀλλ' ὦ κάκιστε, πρῶτον οὔ ποτ' αὖ φίλον
Τὸ βάρβαρον γένοιτ' αὖ Ἕλλησι γένος, 1200
Οὔτ' αὖ δύναιτο. Τίνα ἢ καὶ σπουδῶν χάριν
Πρόθυμος ἦθα; πότερα κηδεύσων τινὰ,
Ἢ συγγενὴς ὤν; ἢ τίν' αἰτίαν ἔχων;
Ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα
Πλεύσαντες αὖθις; Τίνα δοκεῖς πείσειν τάδε; 1205
Ὁ χρυσὸς, εἰ βούλοιο τἀληθῆ λέγειν,
Κτάνε τὸν ἐμὸν παῖδα, καὶ κέρδη τὰ σά.
Ἐπεὶ δίδαξον τοῦτο, πῶς ὅτ' εὐτύχει,
Τροία, πέριξ ἦ πύργος εἶχ' ἔτι πόλιν,
Ἔζη τε Πρίαμος, Ἕκτορός τ' ἴσθι δόρυ, 1210
Τί δ' οὐ τότ', εἴπερ τῇδ' ἐβουλήθης χάριν
Θέσθαι, τρέφων τὸν παῖδα, κἂν δόμοις ἔχων,
Κτείνας, ἢ ζῶντ' ἦλθες Ἀργείοις ἄγων;
Ἀλλ' οὐκ ἐμεῖς σοκεῖτ' ἔμοιγ' ἐν φάει,
Καπνῷ δ' ἐσήμαιν' ἄστυ πολεμίων ὕπο, 1215

Et mihi, quod ad te, sic in proœmiis habet. 1195
Ad hunc verò venio, & verbis respondebo.
Quomodo ais te Græcorum laborem leuans duplicem,
Agamemnonísque studio, filium meum interfecisse?
Sed ô pessime, primùm nunquam amicum
Barbarum fiet Græcis genus, 1200
Nec vnquam possit. Quam verò captans gratiam
Tam promptus eras? vtrum iuncturus affinitatem aliquam,
Aut cognatus existens? Aut quamnam causam habens?
Aut tuæ erant terræ excisuri germina
Classe reuersi. Cui putas persuasurum esse hæc? 1205
Aurum (si velis vera dicere)
Interfecit meum filium, & lucra tua.
Quandoquidem doce *me* hoc, quare, quum erat felix
Troia, & circumcirca turris habebat adhuc vrbem
Viuebátque Priamus, Hectorisque florebat hasta, 1210
Quare non tum (si quidem huic voluisti gratiam
Præstare) nutriens filium & in domo habens
Interfecisti? au viuentem venisti ad Græcos ducens:
Sed quando nos non amplius eramus in luce,
Fumóque significabatur vrbs sub hostibus. 1215

Ξένον κατέκτας ἑστίας ἐπὶ μολόντ' ἐφ' ἑστίαν;
Πρὸς τοῖς δὲ νεῦρα ἄκθυσον, ὡς φανῇ κακός.
Χρῆν σ', εἴπερ ἦθα τοῖς Ἀχαιοῖσι φίλος,
Τὸν χρυσὸν, ὃν φῂς οὐ σὸν, ἀλλὰ τῶδ' ἔχειν,
Δοῦναι φέροντα πενομένοις τε, καὶ χρόνον 1220
Πολλὴν πατρῴας γῆς ἀπεξενωμένοις.
Σὺ δ' οὐδὲ νῦν πω σῆς ἀπαλλάξαι χερὸς
Τολμᾷς, ἔχων ἢ καρτερεῖς ἔτ' ἐν δόμοις.
Καὶ μὴν τρέφων μὲν ὡς σε παῖδ' ἐχρῆν τρέφειν,
Σώσας τε τὸν ἐμὸν, εἶχες αὖ καλὸν κλέος. 1225
« Ἐν τοῖς κακοῖς γὰρ οἱ ἀγαθοὶ σαφέστατοι
« Φίλοι. Τὰ χρήσιμα δ' αὖθ' ἕκας ἔχει φίλους.
Εἰ δ' ἐσπάνιζες χρημάτων, ὃδ' εὐτύχει,
Θησαυρὸς αὖ σοι παῖς ὑπῆρχ' ἡμῶν μέγας.
Νῦν δ' οὔτ' ἐκεῖνον ἀνδρ' ἔχεις σαυτῷ φίλον, 1230
Χρυσοῦ τ' ὄνησις οἴχεται, παῖδές τε σοὶ,
Αὐτός τε πράσσεις ὧδε. σοὶ δ' ἐγὼ λέγω

Hospitem interfecisti, tuum accedentem ad focum?
Adhæc nunc audi vt appareas sceleratus.
Oportebat te, si quidem eras Græcis amicus,
Aurum quod dicis non tuum, sed huius habere,
Dare afferentem egentibúsque, & per tempus 1220
Multum à patria terra procul peregrinantibus.
Tu verò ne nunc quidem tuis dimittere manibus
Sustines; sed tenere perseueras adhuc in domo.
Atqui nutriens quidem vt te filium decebat nutrire,
Seruánsque meum, habuisses præclaram gloriam. 1225
« In aduersis enim boni sunt certissimi
« Amici: res secundæ verò quælibet habent amicos.
Si verò indiguisses pecuniis, hic verò floruisset,
Thesaurus tibi filius potuisset esse meus magnus.
Nunc verò neque illum virum habes tibi amicum, 1230
Auríque fructus perit, filiíque tui,
Ipséque agis isto modo. Tibi verò ego dico

Οὐ φῆς σὸν]σὸν εἶπεν ὁ Πολυμήστωρ πρὸς τὸ χρυσοῦ. ἐπελάθετο δ' ὁ ποιητὴς ἑαυτοῦ, & ἔστιν ἀκαταστοῦν τὰ τοῦτο. Σὺ δ' οὐδὲ νῦν)σὺ δ' οὐδὲ ἀρτίως πρόθυμος εἶ ἐκβαλεῖν τὸ χρυσὸν ἀπὸ σῆς χερὸς, ἀλλ' ἔτι κρατεῖς ἐν δόμοις. ἀλλ' ὄντως αἰαβέφων τὸ ἐμὸν παῖδα ὡς ἔδει σε αἰαβέφειν, εἴχες αὖ δόξαν καλήν. ἐν γὰρ τοῖς δυσυχίαις οἱ ἀγαθοὶ φίλοι σαφέστατοι ὑπάρχουσι. τὰ καλὰ δὲ πράγματα ἑαυτῷ ἔχει τοῖς φίλοις. εἰ δὲ ἔνδεια εἶχες χρημάτων, ὁ δὲ Πολύδωρος ἔζη, πλοῦτος αὖ σοι μέγας ὑπῆρχεν ὁ ἐμὸς παῖς. Νῦν δ' οὔτ' ἐκεῖνον)ἔρρει & θέσις. νοῦν δὲ ὅτι τὸν Πολύδωρον ἔχεις σὺν φίλον, & ἡ ὠφέλεια τοῦ χρυσοῦ ἔφθαρται, οὔτε σοὶ παῖδες διεφθάρησαν, & σὺ πράττεις ὧδε δυσυχῶς. σοὶ δ' ἐγὼ ἡ Ἑκάβη λέγω ὦ Ἀγάμεμνον, ἡ ὧδε βοηθήσας, φανῇ ἄδικος. ὅτε ἀσεβῆ τὸ ξένον καὶ φίλον, ὅτε πιστὸν, ὀχ' ὅσον καὶ δίκαιον δράσας σύ, ἤθελον ἀνεργετήσας οἷς ἦσαν ἔπρεπεν, ἡ σὺ ἀποιία

Universidad de Deusto Biblioteca

δηλονότι. αὐτὴν δέ σε φήσομεν χαρέκακον εἶναι. τὴν δεσπότας δὲ οὐ λοιδορεῖ, ὅτι διώρθωσας τοῦτο.

Ἀγαμέμνον, εἰ τοῦδ' ἀρκέσεις, κακὸς φανῇ.,
Οὔτ' εὐσεβῆ γὰρ, οὔτε πιστὸν οἷς ἐχρῆν,
Οὐχ ὅσιον, οὐ δίκαιον οὐ δεξάσ ξένον. 1235
Αὐτὴν ᾗ χαίρειν τοῖς κακοῖς σε φήσομεν,
Τοιοῦτον ὄντα, δεσπότας δ' οὐ λοιδορῶ.

Χο. « Φεῦ, φεῦ. βροτοῖσιν ὡς τὰ χρηστὰ παράγματα
« Χρηστῶν ἀφορμὰς ἐνδίδωσ' ἀεὶ λόγων

Αγ. « Ἀχθεινὰ μοί γε τἀλλότρια κρίνειν κακά, 1240
« Ὁμως δ' ἀνάγκη. καὶ γὰρ αἰσχύνη φέρει,
Πρᾶγμ' ἐς χέρας λαβόντ' ἀπώσασθαι τόδε.
Ἐμοὶ δ' εἴ γε εἴδῃς, οὔτ' ἐμὲ δοκεῖς χάριν,
Οὔτ' οὖν Ἀχαιῶν ἄνδρ' ἀποκτεῖναι ξένον,
Ἀλλ' ὡς ἔχῃς τὸν χρυσὸν ἐν δόμοισι σοῖς, 1245
Λέγῃς ᾗ σαυτῷ πρὸς φόρ', ἐν κακοῖσιν ὤν.
Τάχ' οὖν παρ' ὑμῖν ῥᾴδιον ξενοκτονεῖν,
Ἡμῖν δ' γ' αἰσχρὸν τοῖσιν Ἕλλησι τόδε.
Πῶς οὖν σε κείνας μὴ ἀδικεῖν, φύγω ψόγον;
« Οὐκ ἂν δυναίμην. ἀλλ' ἐπεὶ τὰ μὴ καλὰ 1250
« Πράσσειν ἐτόλμας, ἴθι καὶ τὰ μὴ φίλα.

Agamemnon, si huic opem tuleris, malus apparebis.
Neque pio enim, neque fideli, quibus decebat,
Neque sancto, neque iusto benefacies hospiti: 1235
Sed ipsum gaudere malis te dicemus
Talem existentem. Dominis verò non facio conuitium.

Cho. « Papæ, Hominibus quàm bona causa
« Bonorum occasiones præbet semper sermonum?

Ag. « Molestum quidem est mihi aliena iudicare mala: 1240
« Tamen necesse. Etenim dedecus affert,
Negotium in manus eum qui accepit, abiicere hoc.
Mihi verò (vt scias) neque meam videris ob gratiam,
Neque etiam Achæorum, virum interfecisse hospitem:
Sed vt haberes aurum in ædibus tuis. 1245
Loqueris verò tibi ipsi conferentia, in malis existens.
Forsan igitur apud vos facile est trucidare hospitem,
Nobis verò turpe hisce Græcis hoc. Quomodo ergo
Te iudicans non iniquè fecisse, effugiam vituperationem?
« Non certè possem. Sed postquam quæ honesta non sunt 1250
« Facere ausus es, sustine etiam quæ non grata sunt.

Εἰ τοῦδε) βοηθήσῃς, κακὸς φανῇ παρ' ἐμοί. Οὔτε γὰρ) τὸ εὐσεβῆ, οὔτε γὰρ ὅσιον, οὔτε δίκαιον εἰς ξένον δεξάς, τὸν δὲ οἷς ἐχρῆν ἀφῃρέθης μέσον. αὐτὴν δὲ ἀφραίνεσθαι τοῖς κακοῖς σε λέξομεν, τοιοῦτον κακὸν ὑπάρχοντα. ἐὰν δὲ εἴπω τὸν δάκνον ὑμᾶς, ἀλλ' οὐκ οὖν λοιδορῶ. Φεῦ φεῦ) θαυμαστικοῦ. τὰ ἀγαθὰ πράγματα λίαν ἐμπαρέχουσιν ἀεὶ τοῖς ἀνθρώποις ἀφορμὰς, εὐλογιῶν

θέσεις χρηστῶν λόγων. Ἀχθεινὰ μοί τὰ χθεινὸν καὶ βαρύ μοι ὄντι τὸ κρίνειν καὶ δικάζειν τὰ ξένα κακὰ, ἀλλ' ὅμως ἀνάγκη ὄντι κρίνειν. καὶ γὰρ ἀπιμίαν ἐπιφέρει λαβόντα ἐμὲ εἰς χέρας τοιοῦτον τινὰ ἀποθέσθαι ἀποδώσαι. ὅπως ᾗ γνῶς, ἐμοὶ φάνη οὔτε δι' ἐμὲ χάριν, οὔτε χάριν τῶν Ἑλλήνων φονεύσειν τὸν Πολύδωρον. ἀλλὰ δοκεῖς ὅπ' ἔκτεινας, ἵνα τὸν χρυσὸν κατέχῃς ἐν τοῖς σοῖς δόμοις. λέγῃς ᾗ ἑαυτῷ συμφέροντα, ὢν δυστυχίαις ἐν κακοῖς. ἴσως ᾗ παρ' ὑμῖν τοῖς βαρβάροις, εὔκολόν ἐστι τὸ κτείνειν ξένους· ἡμῖν δὲ τοῖς Ἕλλησι, τὸ ξενοκτονεῖν αἰσχρόν. πῶς οὖν ἐγὼ κρίνας σε μὴ ἀδικεῖν, ἐκφύγω τὸν μέμψιν· ἐκ αὐ δυναίμην τοῦτο ποιῆσαι. ἀλλ' ἐπειδὴ τὰ μὴ καλὰ ποιεῖν ἐτόλμησας, ἀνάμενε καὶ τὰ μὴ φιλέμενα ἀπὸ σοῦ. φίλος λέγεται καὶ ὁ τῷ φιλοῦντος, καὶ ὁ τῷ φιλουμένου.

Πολ. Οἴμοι, γυναικὸς, ὡς ἔοικ', ἡττώμεθα,
Δούλης, ὑφέξω τοῖς κακίοσι δίκην.
Εκ. Οὐκοῦν δικαίως, εἴπερ εἰργάσω κακά.
Πολ. Οἴμοι τέκνων τῶνδ', ὀμμάτων τ' ἐμῶν, τάλας. 1255
Εκ. Ἀλγεῖς; τί δέ με τῶν παθῶν οὐκ ἀλγεῖν δοκεῖς;
Πολ. Χαίρεις ὑβρίζουσ' εἰς ἐμ', ὦ πανοῦργε σύ;
Εκ. Οὐ γὰρ με χαίρειν χρή, σε τιμωρουμένην;
Πολ. Ἀλλ' οὐ τάχ', ἰώκ' αὖ σε ποντία νῶτις.
Εκ. Μῶν ναυστελήσῃ γῆς ὅρους Ἑλλανίδος; 1260
Πολ. Κρύψῃ μὲν οὖν πεσοῦσαν ἐκ καρχησίων.
Εκ. Πρὸς τῶν βιαίων τυγχάνουσαν ἁλμάτων.
Πολ. Αὐτὴ πρὸς ἰσὸν ναὸς ἀμβήσῃ ποδί.
Εκ. Ὑποπτέροις νώτοισιν, ἢ ποίῳ τρόπῳ;
Πολ. Κύων γενήσῃ, πῦρ σ' ἔχουσα δέρματα. 1265
Εκ. Πῶς δ' οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;

Pol. Hei mihi, à muliere (vt videtur) victus,
Serua, dabo deterioribus pœnam.
Hec. An non iustè? si quidem perpetrasti mala.
Pol. Hei mihi propter liberos hósque oculos meos, misero. 1255
Hec. Doles? quid verò me propter filium non dolere putas?
Pol. Gaudes insultans mihi ô malitiosa tu?
Hec. Non enim me gaudere oportet te quæ vlta sum?
Pol. Sed non statim, quando te marina humiditas:
Hec. Vtrum naui ducet me terræ in fines Græcanicæ?
Pol. Occultabit quidem delapsam ex antennis. 1260
Hec. A quo violentos nactam saltus?
Pol. Ipsa ad malum *nauis* ascendes pede.
Hec. Alatis tergis aut quonam modo?
Pol. Canis fies, ignitos habens aspectus.
Hec. Quomodo verò nosti formæ meæ transmutationem? 1265

Οἴμοι ὑπὸ γυναικὸς ὡς ἔοικεν νικώμεθα, παρέξω τοῖς ἐλάττοσιν, ἤτοι τοῖς κακοῖς ὑμωείαν. Ἡττώμεθα) ἡττώμεθα δούλης γυναικὸς, ἢ Ἑκάβης νοητέον, ἢ τῆς Κασσάνδρας. καὶ τοῦτο μὴ τὸ παρόντος ὑδὲν δεῖ μηνύειν, ὡς φανερῶς. εἰ δὲ τῆς Κασσάνδρας ἐκφέρομεν, ὅτως συνεκτέον.

Universidad de Deusto
Biblioteca

οἶμαι ὡς ἔοικεν ἠστώμβρος δούλης γυναικὸς, δώτω δίκην. ἐκείνη γὰρ ὄστιν αἰτία τῦ συμμαχῆσαι μοὶ τῇ Ἑκάβῃ τὸν Ἀγαμέμνονα, ἐμοῦ δὲ καταψηφίσασθαι. ἀγνοήσαντες δέ πνες τὸ λεπτὸν τῆς ἐννοίας, ἐσυλοίκισαν τὸ ἠστώμβρος πρὸς τὸν Ἀγαμέμνονα, ἀλλ' οὐ πρὸς τὸν Πολυμήστορα λέγεσθαι, ἐκφέροντες οὕτω. ἠστώμβρος ὦ Ἀγάμεμνον δούλης γυναικὸς σὺ τῆς Κασάνδρας ὑφέξω ἐγὼ δίκην, ὅταν ἐφάπτης αὐ ἐν ἀμαθίας. κρεῖσσον ἢ πρὸς τὴν Ἑκάβην τὸ δούλης γυναικὸς λέγεσθαι. Οὐκοῦν) δικαίως ὑφέξεις δίκην, ἐπειδὴ κακὰ ἔπραξας. Οἴμοι) τῦ τέκνων ἕνεκα, καὶ τῦ ὀφθαλμῶν ὁ τάλας ἐγώ. Ἀλγεῖς;) λυπῆς; τὶ δὲ οὐ δοκεῖς ἀλγεῖν ἐμὲ τὸ πυθὸς μου ἕνεκεν; Χαίρεις) χαρὰν ἔχεις, ἀπμάζουσά με ὦ κακόζωε σύ. Οὐδὲ πρέπει με χαίρειν πμωρουσαν, καὶ κολάζουσαν σέ; ἀλλ' οὐ χαρήσεις, ἰώκα σε ἡ θάλασσα κρύψῃ, ἅ ἐκ δόμων τῦδε πέμψῃ εἰς πεῖ ὅρος τῆς Ἑλλάδος; Νωτὶς πεντία καλύψει, καὶ πεντήσι πεσοῦσαν ὀκ τῦ καταρῶν. Λέγουσιν ὅτι οἱ Ἕλλωες καταρώμβοι πάντοτε καὶ ὑβειζόμβοι ὑπὸ τῆς Ἑκάβης, θυμωθέντες ἔρριψαν τοῦτο, ἀιαβιβάσαντες ἀπὸ τῦ ἴσου τῆς νεώς, καὶ λιθοβολήσαντες ἐκείνω, ὕστερον πεῖ λίθοις ἀπὸ τούτης ἐκβαλόντες θῦρον σκύλλαν. Πρὸς τὸ βιαίων] τὸ πτῶτος νοεῖται. εἰπόντος γὰρ πῦ Πολυμήστορος πεστεῖσθαι αὐτὸ ὀκ τῦ ἱστῶν, ἀπορῦσα αὕτη φησὶ, τῦδε πάνος τυγχάνουσα ἁλμάτων, καὶ πτωμάτων βιαίων, καὶ ἀκουσίων κρύψει με. ἅλματα γὰρ βίαια τὰ ἀκούσια φαμὲν, ἅτε οὐχὶ ὁ ἁλόμβος δεῦ ἑκουσίως, ἀλλ' ὑπὸ πνος ἑτέρου ἀιαγκαζόμβος πεφάπει. Πρὸς τὸ βιαίων) πρὸς πνος ἀιαγκαστικῶν ὅπ τυγχάνουσαν πτωμάτων. Αὐτὴ ἀιαβήσομαι ὀν τῦ αἰωτάτω πυδίστυ, ἤγουν τὴν ἄκρα τῦ τροχαλιῦ. δεῦ νώτων ἐπερωμένων, ἢ ποίω τρόπῳ. Κύων γὰρ ἡμῶν, πυρώδεις ὀφθαλμοὶς ἔχουσα, ἤτοι πυριωμβόμοις. πῶς δὲ γνώσκεις τὸν ἐναλλαγὸν τῆς μορφῆς μου· ὁ ὀν πῖς Θρᾷξὶ μάντις ἔλεξε Διόνυσος τοῦτο. Θρηξὶ μάντις) ἢ ὀν τῇ Θράκῃ Διονύσου μαντεῖον ἦν, ἢ αὐτὴρ τὸς ὀν Θράκῃ Διονυσος καλούμβος.

Πολ. Ο Θρῃξὶ μάντις εἶπε Διόνυσος τάδε.
Εκ. Σοὶ δ' ὀκ ἔχρησεν οὐδὲν, ὧν ἔχῃς κακῶν;
Πολ. Οὐ γάρ ποτ' αὖ σύ μ' εἷλες ὧδε σὺν δόλῳ.
Εκ. Θανοῦσα δ' ἢ ζῶσ' ἐκπτόλεσ' ὀκπλήσω βίον; 1270
Πολ. Θανοῦσα. τύμβος δ' ὄνομα σὸν κεκλήσεται.

Pol. Apud Thraces vates dixit Dionysus hæc.
Hec. Tibi verò non vaticinatus est quicquam de malis quæ habes?
Pol. Non enim vnquam tu me cepisses sic cum insidiis.
Hec. Mortuáne an viua hîc implebo vitam?
Pol. Mortua. Tumulus verò nomine tuo vocabitur. 1270

Διόνυσος] οἱ μὲν περὶ τὸ Παγγαῖον ἔθνος τὸ μαντεῖον φασὶ τῦ Διονύσυ. οἱ δὲ περὶ τὸν Αἶμον. οὗ εἰσὶ καὶ Ορφέως ἐν σανίσιν αἰαγεγραφαί. περὶ ὧν φησὶν ἐν Αλκήστιδι, οὐδεὶς φαρμάθρης σανίσι πας ὀρφείας κατέγραψε γῆρις. ὅπ δὲ Διόνυσος μάντις, καὶ ἐν Βάκχαις φησὶ, μάντις δ' ὁ δαίμων ὅδε. τὸ τὸ Βακχεῖον καὶ μανιῶδες, μαντικὴν πολλὴν ἔχει. Σοὶ δ' οὐκ ἔχρησεν) σοὶ δὲ ὀκ ἐμάντευσεν οὐδὲν τῦ κακῶν ὧν ἔχῃς, Οὐ γὰρ ποτ' αὖ) ὀκ ἔχρησε δηλονότι. οὔπτε γὰρ αὖ σὺ εἷλες ἐμὲ ὧδε σὺν δόλῳ. Θανοῦσα δ' ἢ ζῶσ') θανοῦσα ἢ ὀκπλήσω τὸν ὀνθάδε βίον, ἤτοι τὸν ὀν τῇ μορφῇ τὸ κυνὸς, ἢ ζῶσα, τὸ ὀκπλήσω τὸν βίον, πρὸς τὸ ζῶσα μόνον λέγει. πρὸς δὲ τὸ θανοῦσα, τὸ μεταβληθήσομαι εἰς κύνα. ἐπειδὴ περ εἶπεν ὁ Πολυμήστωρ ἠμήσας αὐτὴ κύνα, διαπορεῖ, & ἐρωτᾷ αὐτὴ. τὶ λέγεις; θανοῦσα γενήσομαι κύων, ἢ ζῶσα μεταβληθήσομαι εἰς τὸν κυνὸς

μορφὴν; ὁ δὲ λύει ὕπνος, θανοῦσα. ἔφη δὲ Πυθαγόρας, καὶ μετ' ἐκεῖνον Πλάτων, ὡς αἱ τῦ ἀθλίως βεβιωκότων ψυχαὶ, ἀποθανόντων εἰς ἄλογα ζῶα εἰσέρχονται, καὶ λίθοις, καὶ ξύλα, καὶ φυτὰ, ἵνα ὀν τῇ πρὸς τοῦτο διαβίῳ δίκην ὑποτρεῦσι πρέπουσ ὧν ἥμαρτον, εἰς τὰ ἀρχαῖαν ἐπανέλθειν τάξιν. ὅθεν καὶ Πυθαγόρας ποτὲ ἀκούσας ὄνον ὀγκώμενον, ἔφη, ὡς φίλε μοῦ ψυχή ὄστιν αὐτὴ ἡ ὀν τῦ ὄνῳ, καὶ δεῦ ἀπὸ τὸ ἐπέγω με. Θανοῦσα) Τυτέστι μέχρι θανάτου κύων ἔσῃ. ἐπωνομασθήσεται δὲ τῦ τάφῳ τὸ σὸν ὄνομα, ἤγουν κύων. Ἐπωδὸν καὶ ἐπώνυμον τῆς ἐμῆς μορφῆς, ἢ τὶ ἄλλο ἐρεῖς. Εἰρήσεται & λεχθήσεται, δηλονότι σῆμα & μνημεῖον τῦ ἁλαίνης κυνὸς, τέκμαρ καὶ σημεῖον τοῖς ναύταις.

Εκ. Μορφῆς ἐπῳδὸν, ἢ τί τῆς ἐμῆς ἐρεῖς;
Πολ. Κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ.
Εκ. Οὐδὲν μέλει μοι, σεῦ γέ μοι δόντος δίκην.
Πολ. Καὶ σὲ γ' ἀνάγκη παῖδα Κασάνδραν θανεῖν. 1275
Εκ. Απέπυσ'. αὐτῷ τῷ τέ σοι δίδωμ' ἔχειν.
Πολ. Κτενεῖ νιν ἡ τῦδ' ἄλοχος, οἰκουρὸς πικρά.
Εκ. Μήπω μανείη Τυνδαρὶς τοσόνδε πῶς.
Πολ. Καὶ τόν τε τῦπον, πέλεκυν ὀξήρεσ' αἴρω.
Αγ. Οὗτος, σὺ μαίνῃ, καὶ κακῶν ἐρᾷς τυχεῖν; 1280
Πολ. Κτεῖν', ὡς ὀν Αργεῖ φόνια λουτρᾶσ' ἀναμίξει.
Αγ. Οὐχ' ἕλξετ' αὐτὸν δμῶες ὀκποδὼν βίᾳ,
Πολ. Αλγεῖς ἀκούων; Α. ὀκ ἐφέξετε στόμα;
Πολ. Εγκλείετ'. εἴρηται γάρ. Α. οὐχ ὅσον τάχος
Νήσων ἐρήμων αὐτὸν ὀκβαλεῖτέ ποι, 1285
Επεί περ ἔτι καὶ λίαν θρασυστομεῖς;

Hec. Formæ consentiens, aut quid de me dicis?
Pol. Canis miseræ sepulchrum, nautis signum.
Hec. Nihil curæ est mihi quum tu mihi dederis pœnam.
Pol. Et tuam necesse est filiam Casandram mori. 1275
Hec. Abominor: ipsi hæc tibi tribuo habere.
Pol. Interficiet ipsam huius coniux domus custos acerba.
Hec. Ne vnquam insaniat vsqueadeo Tyndarei filia.
Pol. Ipsúmque hunc, securim tollens sursum.
Ag. Heus tu, insanis & mala appetis consequi? 1280
Pol. Interfice, quoniam Argis homicidalia lauacra te manent.
Agam. Non trahetis ipsum famuli ex conspectu per vim?
Pol. Doles audiens? Agam. Non cohibetis os?
Pol. Concludite, dictum est enim. Ag. Annon quàm celerrimè
Insularum desertarum ipsum abiicietis aliquò,
Quoniam sic & nimium licentia oris abutitur? 1285

Μορφῆς ἐπῳδὸν) ἐπώνυμον τῆς κυνικῆς μορφῆς, ἢ ἀλλό τι τῆς ἀνθρωπίνης ἰῶ ἔχω λέξεις. Κυνὸς ἀθλίας τῆς ναύταις πεκμήριον. Περὶ τὸ κυνὸς σήματος καὶ Λοκλητιάδης φησὶν, ὅπ κυνὸς καλεῦσι δυσμόρου σῆμα. Οὐδαμῶς μοι φροντὶς ὄστι, ἡμφορηθέντος σοῦ παρ' ἐμοῦ. Ανάγκη ὁ ὑπαρχει καὶ τὸν σὴν παῖδα Κασάνδραν ἀποθανεῖν. Απέπυσ'

αὐτῇ) καὶ φρονῶ τοῦ σοῦ μαλθακῆ. σὺ δ' εἶπ
ζῶντα θρέψαι, ἅπερ ἐμοὶ μαντεῖα. Κτενεῖ δὲ
αὐτὴ ἡ σωφρονοῦσα τῶδε τὸν Ἀγαμέμνονος, ἡ πικρὰ
Κλυταιμνήστρα. Πικρὰ οἰκουρὸν τὸν Κλυταιμνήστραν
φησὶν, ὡς μοιχευομένην τῷ Αἰγίσθῳ, ὃν ἔκτεινε
ὁ Ἀγαμέμνων, ὅτ' ἀπῆει εἰς Τροίαν, κηδεμόνα τοῦ οἴκου αὐτοῦ, καὶ ἀποκτείνασαν τὸν ἴδιον
ἄνδρα Ἀγαμέμνονα ὕστερον, ὡς καὶ Πολυμήστωρ
μετ' ὀλίγον αὐτῷ Ἀγαμέμνονι λέγει, ὑπὸ πελέκεως αἱρεθήσεται. φοβουμένη δὲ αὐτὴ ἡ Κλυταιμνήστρα αὐτὸν, μὴ τοὺς Αἴγισθον αὐτῆς μοιχείαν καταμαθὼν, αὐτὸν μετ' Αἰγίσθου πιμωρήσηται, τοιόνδε βουλεύει. ἱμάτιον παρεσκευάσατο μὴ ἔχον δεξιὸν δεξιὸν μήτε κεφαλῆς, μήτε χεῖρας, ἐν ᾧ τοὺς δεδεμένα αὐτὸν λελυμένον ἀπέκτεινε. διὰ τοῦτο δὲ Πολυμήστωρ λέγει τοῦς αὐτὸν, κτεῖν' ὡς ἐν Ἀργεῖα λεβὰ σ' αἱαμόνει. Μήπω μὴν μανεὶς τοσόνδε ἡ θυγάτηρ τοῦ Τυνδαρέως) καὶ τὸν τοῦ Ἀγαμέμνονα κτενεῖ, ἐξάρασα πέλεκυν ἄνω. Οἱ νεώτεροι μὴ νοήσαντες τὸ Ὁμηρικὸν, δειπνήσας ὥς τις τὸν κατέκτανε δεῦρ' ὅπ' φάτνη, ὅπ αὐτ' ὢν ἔδη

Ἑκάβη, σὺ δ' ὦ τάλαινα, δίπτυχοις νεκροῖς
Πείχουσα θάπτε. δεσποτῶν δ' ὑμᾶς χρεὼν
Σκηνὰς πελάζειν Τρῳάδες· καὶ γὰρ πνοὰς
Πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ. 1290
Εὖ δ' ἐς πάτραν πλεύσειμεν. εὖ γὰρ ἐν δόμοις
Ἔχοντ' ἴδοιμεν, τοῦδ' ἀφειμένοι πόνων.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἴτε τοὺς λιμένας, σκηνάς τε φίλαι,
Τῶν δεσποσύνων πρεσσόμεθα
α Μόχθων. Πικρὰ γὰρ ἀνάγκη. 1295

Hecuba, tu verò misera geminos mortuos
Vadens sepelito. Dominorum verò vos oportet
Tentoria accedere Troades. Etenim flatus
Domum versus iam hosce secundos video. 1290
Bene verò *utinam* in patriam nauigemus. bene etiam quæ domi
Habere videamus, ab his liberati laboribus.

Chorus.

Cho. Ite ad portus, & tentoria ô amicæ,
Heriles experturæ
α Labores. Dura enim necessitas. 1295

Ἴτε τοὺς λιμένας) πορεύεσθε τοὺς τοῦ λιμένας, καὶ τοὺς τοῦ κατοικίας ὦ φίλαι, πεῖσαν τοῦ δεσποτικῶν ληξόμεθα πόνων. ἰσχυρὰ γάρ ἐστιν ἡ τῆς δουλείας ἀνάγκη. τοῦτο ὁ τοὺς ἑαυταῖς λέγουσιν αἱ ἀπὸ τοῦ χοροῦ.

Τέλος σχολίων τοῦ εἰς Ἑκάβην.

ΥΠΟΘΕΣΙΣ ΟΡΕΣΤΟΥ.

ΟΡΕΣΤΗΣ τὸν φόνον τοῦ πατρὸς ἐκδικησάμενος, αἰτεῖται Αἴγισθον καὶ Κλυταιμνήστραν. μνηστευτῆσαι δὲ πλησίας, τοῦ γαμετῆ δίκλω ἔδωκεν, ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ τοῦ πατρὸς τῆς αἰνιγμάτης κατηγορήσαντος κατ' αὐτοῦ, ἐμέλλον κινεῖν Ἀργεῖοι ψῆφον ἐκφέρεσθαι τοῦ τοῦτο, τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα. καὶ τυχὼν δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέφας, νυκτὸς μὴν Ἑλένην εἰσαπέστειλε μεθ' ἡμέρᾳν δὲ αὐτὸς ἦλθε. καὶ τοῦ καλούμενος ὑπὸ Ὀρέστου βοηθῆσαι, αὐτοῦ ἀπελέγοντα Τυνδάρεων μᾶλλον ἠυλαβήθη. λεχθέντων δὲ λόγων ἐν πᾶς ὄχλος, ἐπὶ τὸν ἔχθη τὸ πλῆθος ἀποκτίνειν Ὀρέστην. συνὼν δὲ πύστις ὁ Πυλάδης ὁ φίλος αὐτοῦ, συνεβούλευσε τοῦ τὸν Μενελάου ἐμφρείαν λαβεῖν, Ἑλένην ἀποκτείναντας. αὐτὶ μὴν ὧν ὅπῃ πυστοῖς ἐλθόντες διεψεύσθη παν τῆς ἐλπίδος, θεᾶν τὴν Ἑλένην ἁρπασάντων. τὴν δὲ Ἑρμιόνην δείξας ὁ Ἀπόλλων, ἔδωκεν εἰς χεῖρας αὐτῆς. οἱ δὲ ζῶντὴν φονεύειν ἔμελλον. ὅπφανεὶς δὲ Μενέλαος, καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνων ἐστερημένον ὑπὸ αὐτοῦ, ἐπεβάλετο τὰ βασίλεια πορθεῖν. οἱ δὲ φθάσαντες, ὑφάψαν ἠπείλουν. ὅπφανεὶς δὲ ὁ Ἀπόλλων, Ἑλένην μὴν ἔφη τὸν εἰς θεοὺς διαχωμίζειν, Ὀρέστην δὲ Ἑρμιόνην ἐπαξιοῦν λαβεῖν, Πυλάδην δὲ Ἡλέκτραν συνοικῆσαι καὶ θαρσέντα δὲ τοῦ φόνου, Ἀργοῖς ἀρχὴν.

ΑΛΛΩΣ.

Ὀρέστης διὰ τὴν τῆς μητὸς σφαγὴν, ἅμα καὶ ὑπὸ τοῦ Ἐριννύων δειματούμενος, καὶ ὑπὸ τοῦ Ἀργείων κατακριθεὶς θανάτῳ, μέλλων φονεύειν Ἑλένην καὶ Ἑρμιόνην, αὐθ' ὧν Μενέλαος παρὼν ἐκ ἐβούλησεν, ἐκωλύθη ὑπὸ Ἀπόλλωνος. παρ' οὐδενὶ δὲ κεῖται ἡ μυθολογία.

ΑΛΛΩΣ.

Ἡ μὴν σκηνὴ τοῦ δράματος, ὑπόκειται ἐν Ἄργει. ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων, ἡλικιωτίδων. αἳ καὶ τοῦ δραγίνονται, ὑπὲρ τῆς τοῦ Ὀρέστου πιθανόμεναι συμφορᾶς. τὸ δὲ δρᾶμα κωμικωτέρον ἔχει τὴν καταστροφήν. ἡ δὲ διασκευὴ τοῦ δράματος, ἔστι πιαύτη τοῦς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια, ὑπόκειται Ὀρέστης κάμνων, καὶ κείμενος ὑπὸ μανίας ὅπῃ κλινιδίου, ᾧ τοῦ σκαθέζεται τοῦς τῆς ποτὲ Ἠλέκτρα. διαπορεῖται δὲ, εἰ δὴ ποτε οὐ τοῦς τῇ κεφαλῇ καθέζεται. οὕτω δὲ μᾶλλον ἐδόκει τὴν ἀδελφοῦ εἰ μελεῖν, οὕτω τοῦ καθεζομένη πλησιαίτερον. ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς διασκεύασαι. δηλέρθη γὰρ αὖ ὁ Ὀρέστης ἀρτι, καὶ μόλις καταδαρθεὶς, ἐγεὶ αὐτοῦ τοῦ κῆ τὸν χορὸν γυναικῶν παρεσταμένων. ἔστι δὲ ὑποτιθεῖσα τῶτο, ἐξ ὧν φησὶν Ἠλέκτρα τοῦ χορῷ, Σίγα, σίγα, λεπτὸν ἴχος ἀρβύλης. πιθανὸν δὲ εἶ) παῦτίν φασὶ τὴν τοῦ τοιαύτης διαθέσεως. τὸ δρᾶμα τοῦ ὅπῃ σκηνῆς ἀδοκιμούντων, χείριστον δὲ τῆς ἤθεσι. πλὴν γὰρ Πυλάδου, πάντες φαῦλοι ἤσαν.

Universidad de Deusto Biblioteca

ARGVMENTVM ORESTIS.

ORESTES necem patris vlturus, interfecit Ægisthum & Clytæmnestram. Ausus autem matrem occidere, statim pœnam dedit, insanus factus. Tyndaro autem patre interfectæ accusante eum, communem sententiam erant laturi Argiui de hoc quod oportteret pati impium. Fortè autem Menelaus rediens ex sua peregrinatione, noctu quidem Helenen misit, interdiu autem ipse venit: & aduocatus ab Oreste, vt iuuaret ipsum, accusantem Tyndarum magis est reueritus. Dictis autem orationibus in cœtu, motus est populus vt occideret Orestem. Pylades autem amicus eius cùm ei adesset, consuluit, vt ipsi primùm de Menelao sumerent pœnam, interficientes Helenam. Ipsi igitur propter hæc venientes frustrati sunt spe, cùm dij Helenem rapuissent. Hermionem autem ostendens Apollo, dedit eis in manum: illi autem hanc volebant occidere. Apparens autem Menelaus, & videns se simul coniuge & liberis ab istis priuatum, conatus est oppugnare regiam: illi autem præuenientes, minabantur se inflammaturos esse. Apollo autem apparens, Helenem dixit se transtulisse ad deos: Orestem autem iussit Hermionem ducere, & Pyladi Electram cohabitare: & purificatum à cæde, Argos tenere.

ALITER.

Orestes propter matris cædem simul & ab Erinnybus exagitatus, & ab Argiuis condemnatus nece, erat interfecturus Helenen & Hermionem: propterea quòd Menelaus præsens non iuuerat eum: prohibitus est autem ab Apolline. Nusquam ponitur mythologia.

ALITER.

Scena fabulæ posita in Argo. Chorus autē constat ex mulieribus Argiuis æqualibus, quæ accedunt, interrogantes de calamitate Orestis. Fabula habet exitum magis comicum. Apparatus fabulæ est talis. Iuxta aulam Agamemnonis fingitur Orestes laborans, & iacens præ insania in lectulo, cui assidet ad pedes Electra. Dubitatur verò, quare non ad caput assideat, sic magis videbatur curare fratrem, ita assidens propius. Videtur igitur propter chorum poeta ita finxisse. Excitatus enim fuisset Orestes, iam primum, & vix sopitus, si prope ipsum mulieres chori stetissent. Possumus hoc suspicari ex eo quod dicit Electra ad chorum, Tace tace, tenue vestigium soleæ. Probabilem esse aiunt prætextum huius dispositionis: fabula est ex celeberrimis in scena, sed pessima moribus. nam præter Pyladen, omnes erant improbi.

ΕΥΡΙΠΙΔΟΥ ΟΡΕΣΤΗΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.	PERSONÆ HVIVS FABVLÆ SVNT HÆ:
ΗΛΕΚΤΡΑ.	ELECTRA.
ΑΓΓΕΛΟΣ.	NVNCIVS.
ΟΡΕΣΤΗΣ.	ORESTES.
ΑΠΟΛΛΩΝ.	APOLLO.
ΕΛΕΝΗ.	HELENA.
ΧΟΡΟΣ.	CHORVS.
ΦΡΥΞ.	PHRYX.
ΤΥΝΔΑΡΕΩΣ.	TYNDARVS.
ΠΥΛΑΔΗΣ.	PYLADES.
ΕΡΜΙΟΝΗ.	HERMIONE.
ΜΕΝΕΛΑΟΣ.	MENELAVS.
Προλογίζει δ' ἡ Ηλέκτρα, ὡς ἀδελφὴ Ορέστου, ἐλεεινολογοῦσα διὰ τὸν Ταύταλον.	Præfatur autē Electra, tanquā soror Orestis, deplorās propter Tantalum.

ΙΑΜΒΟΙ.

« ΟΥΚ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος,
« Οὐδὲ πάθος, οὐδὲ ξυμφορὰ θεήλατος,
« Ης οὐκ αἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.
Ο γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,

ELECTRA.

« NVLLA est oratio sic dicendo atrox.
« Neque calamitas, neque afflictio diuinitus veniens,
« Cuius pondus non sustineat genus humanum.
Nam ille beatus, non exprobro ei fortunam,

ΕΙΣ ΤΟΝ ΕΥΡΙΠΙΔΟΥ ΟΡΕΣΤΗΝ.

Οὐκ ἔστιν οὐδὲν δεινὸν) Η εἴωθεσις τοῦ δράματος, οὐκ μονοτροφικῆς δεῖ τραγῳδοῦ. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τετραμέτροι ἀκατάληκτοι ρλ η. ὧν πολυτάλας, πάνυ ὀξεγείρας συμφορὰ θρηνήσεται. δηλοῖ πᾶς ὑποθέσεσι τραχεῖαφος. δηλοῖ δὲ πᾶν τέλειον κωμῳδίας. Επειδὴ ἡ τοῦ πάθους αὐτῆς δυσυχία, ὑπερῆρεν ἁπάσας, διὰ τοῦτο αὐτὴν ἡ Ηλέκτρα γνωματεύομένη, ταῦτα φησὶ καθ' αὑτήν. δείξη δ', ὡς ἐξ ἀρχῆς τὸ θρῆνος αὐτῆς συμφορᾶς ἐστὶ κείμενον ἵνα δὲ μὴ καθ' ἕκαστον ἀπαριθμῆται τὰ συμβαίνοντα τοῖς ἀνθρώποις κακὰ, τραγῳδεῖ διὰ τοῦ θρηνικοῦ ὀνόματος τοῦ δεινοῦ, διαρουμένου εἰς πάθη καὶ συμφοράς. καὶ πάθη μὲν ὅτι, τὰ συμπίπτοντα τοῖς σώμασι νοσήματα. συμφοραὶ δὲ, αἱ ἐπιχύμεναι τοῖς ἀνθρώποις θλίψεις, καὶ τὸ, ὡσὶ εἰπεῖν ἔπος, διὰ τοῦτο ἔφη· διότι καθολι-

Universidad de Deusto Biblioteca

κῶς διελήνεγκεν, ἤγουν εἴρηκεν. ἐπεὶ δὲ πάθη καὶ συμφορὰν εἴρηκε, προτιμᾷ τὸ θηλυκὸν τοῦ οὐδετέρου, ἀποδιδοὺς τὸ ἧς πρὸς τὸ συμφορά. γίνωσκε δὲ, ὅτι ἐὰν εὑρεθῶσιν ὀνόματα ἀρσενικὸν καὶ θηλυκὸν, μάλιστα μὲν τὸ ἀρσενικὸν προτιμᾶται τοῦ θηλυκοῦ. συμβαίνει δὲ ἔστιν ὅτε καὶ τὸ ἀνάπαλιν. ὁ αὐτὸς δὲ λόγος ἐστὶ καὶ ἐπὶ τῶν θηλυκῶν καὶ οὐδετέρων, κειμένου ἀρσενικοῦ, καὶ θηλυκοῦ, καὶ οὐδετέρου ὀνόματος. ἀποδίδοται ἡ σύνταξις πρὸς τὸ οὐδέτερον, ὡς εἰς πρᾶγμα. Οὐκ ἔστιν οὐδὲν δεινὸν] τὸ δεινὸν ὄνομά ἐστι γενικὸν, καὶ διαιρεῖται εἰς πάθος, καὶ συμφοράν. καὶ πάθος μὲν, τὰ νοσήματα. συμφορὰ δὲ, αἱ δυστυχίαι, καὶ περιπέτειαι. Αλλως. Οὐκ ἔστιν οὐδὲν δεινὸν, ὅπερ οὐχ ὑφίσταται τῶν ἀνθρώπων ἡ φύσις. τοῦτο δέ φησι παρόσον ἔκτοπον καὶ ἀλλόκοτον ὑπέστη τιμωρίαν ὁ Τάνταλος, ἢ διὰ τὰς τῶν γονέων συμφορὰς, ἢ δι᾽ ἑαυτὴν, ὡς γε τλημόνως συνυποφέρει τῷ ἀδελφῷ τὴν τύχην, ἢ διὰ τὸν Ορέστην. Αλλως. Ὦ δ᾽ εἰπεῖν ἔπος, ὡς ἐν συντόμῳ εἰπεῖν, οὐκ ἔστι δεινὸν, οὔτε βάρος, οὔτε συμφορὰ, ἧς οὐκ ἂν τὸ βάρος ἡ τῶν βροτῶν φύσις ἀπενέγκαιτο, εἰς θηλυκὸν δὲ ἐξ οὐδετέρου τὸν λόγον ἀπέδωκεν. ἐπειδὴ προτιμᾶται τοῦ οὐδετέρου τὸ θηλυκόν. Οὐκ ἔστιν οὐδὲν δεινόν.) ὡς ἐπάρχεται δηλονότι εἰπεῖν ἔπος οὕτως, ἤτοι ὡς ἐν συντόμῳ εἰπεῖν οὐκ ἔστιν οὐδὲν χαλεπὸν, οὐδὲ πάθος καὶ κάκωσις, οὐδὲ συμφορὰ ἀπὸ θεῶν πεμφθεῖσα, ἧς οὐκ ἂν βαστάσει βάρος ἡ φύσις ἀνθρώπου. Οὐδὲ πάθος] πάθος ἐπὶ σώματος, τὸ τραῦμα, καὶ ἡ πληγὴ, ἣν ξίφει τις ἐπλήγη. ἢ τοιούτῳ τινί. ὃ ἀπὸ μὲν τοῦ ποιοῦντος λέγεται πρᾶγμα, καὶ πρᾶξις· ἀπὸ δὲ τοῦ πάσχοντος, πάθος. ὥσπερ τὸ λῆμμα ἀπὸ μὲν τοῦ λαμβάνοντος λέγεται λῆμμα, ἀπὸ δὲ τοῦ διδόντος δῶρον. ἀπὸ τούτου πάθος καὶ ἐπὶ ψυχῆς ἡ ἧττα, ἣν ἡττηθῇ τις ὑπὸ ἀδικίας, ἢ ἀκολασίας, ἢ τοιούτου τινὸς, λέγεται πάθος, καὶ αὐτὴ ἡ ἀκολασία, καὶ ἡ ἀδικία, καὶ ἡ δειλία, καὶ ὅσα τοιαῦτα προσβάλλει ἡμῖν. ὥσπερ λέγεται βέλος, καὶ τὸ πεμπόμενον, καὶ τὸ τραῦμα τὸ ἀπὸ τῆς βολῆς τοῦ βέλους. τούτων δὲ τῶν παθῶν τῶν προσβαλόντων, ἤγουν τῆς ἀδικίας, τῆς ἀκολασίας, καὶ τῶν τοιούτων, ἐπικρατεῖν ὁ λογισμὸς δύναται, οὐ καταλύων αὐτὰ, ἀλλ᾽ ὑπείκων αὐτοῖς. τὰ δὲ ἕτερα, ἤγουν αἱ πληγαὶ καὶ αἱ ἧτται αἱ ὑπὸ τούτων, ἀφαιρήσεται ἰατρευόμενα. ὡς μηδὲ οὐλὴν, καὶ ἴχνος τι αὐτῶν καταλείπεσθαι. ἐνταῦθα δὲ πάθη λέγει σώματος, τὴν πληγὴν καὶ κάκωσιν. Ο γὰρ μακάριος) Ο γὰρ μακάριος Τάνταλος, καὶ οὐκ ὀνειδίζω τὰς τύχας, γεννηθεὶς ὡς λέγουσιν ἀπὸ τοῦ Διὸς, φοβούμενος τὴν πέτραν τὴν ὑπερκειμένην τῆς κεφαλῆς, κρέμαται ἐν τῷ ἀέρι. καὶ δίδωσι ταύτην τὴν τιμωρίαν, ὡς μὲν λέγουσιν, ὅτι ἄνθρωπος ὢν, ἔχων ἀξίωμα κοινῆς τραπέζης ἴσον τοῖς θεοῖς, ἔσχε γλῶσσαν ἀκράτητον, νόσον αἰσχίστην, καὶ χαλεπωτάτην. οὗτος ὁ Τάνταλος ἐγέννησε Πέλοπα, καὶ ἀπὸ τοῦδε ἔφυ ὁ Ατρεὺς, ᾧ Ατρεῖ ἡ μοῖρα ἡ Κλωθὼ ξήνασα, καὶ κατασκευάσασα, ἤτοι παραχοῦσα τὰ στέμματα, καὶ τὴν βασιλείαν, ἐπέκλωσε, καὶ εἱμαρμένον ἐποίησε, θέσθαι καὶ ποιῆσαι ἔριν, πόλεμόν τε τῷ Θυέστῃ ὄντι συγγόνῳ καὶ ἀδελφῷ. Ο γὰρ μακάριος) μακάριον αὐτὸν καλῶ, καὶ οὐ δυστυχῆ, ἵνα μὴ ὀνειδίσω αὐτόν. Αλλως. Ο ποτὲ μακάριος. οὐ γὰρ ὀνειδίζουσα φησὶν, ἀλλὰ βουλομένη παραστῆσαι, ὅτι πάντα τὰ δεινὰ ὑφίστανται οἱ ἄνθρωποι. ὡς Ομηρος, τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισι. καλῶς δὲ τὸ ὡς λέγουσι προσέθηκεν. οὐ γὰρ πείθομαι τὸν Δία τοὺς ἰδίους παῖδας οὕτως αἰκίζεσθαι. Αλλως. τὸ ὡς λέγουσιν, οὐκ ἐνδοιάζουσα φησὶν, εἰ παῖς ἦν τοῦ Διὸς ὁ Τάνταλος, ἀλλ᾽ ὀνειδίζουσα τῷ δαίμονι. ὅτι τοὺς ἰδίους ἐκγόνους τοσοῦτον ἐν ταῖς δυστυχίαις παρορᾷ. Αλλως. Ο γὰρ μακάριος] ἐπαινεῖταί τις ἐφ᾽ οἷς ποιεῖ καλοῖς, καὶ ψέγεται ἐφ᾽ οἷς ποιεῖ κακοῖς. μακαρίζεται δὲ ἐφ᾽ οἷς ἔχει καλοῖς, ἢ ἀπολαύει. ἀφ᾽ οὗ μακάριος, ὁ μακαρισμοῦ ἄξιος, ἐφ᾽ οἷς ἔχει καλοῖς, ἢ ἀπολαύει. καὶ μακάριον τέλος, οὗ ὁ τυχὼν μακαρίζεται. καὶ μακάριον ἔργον, ἐφ᾽ ᾧ ὁ ἐργασάμενος μακαρίζεται. ἐνταῦθα δὲ τὸ μακάριος, κατ᾽ εὐφημισμὸν λέγεται. οὐ γὰρ καλῶν ἀπήλαυσεν ὁ Τάνταλος, ἵνα διὰ ταῦτα μακαρίζηται, ἀλλὰ κακώσεων μᾶλλον καὶ κολάσεων. τινὲς μέν φασιν, ὧν ἐστι καὶ Εὐριπίδης, ἐν ἀέρι τὸν Τάνταλον κρέμασθαι, κἀνταῦθα τὴν δίκην ὑπέχειν ὧν ἐξήμαρτεν, ἐξειπὼν τοῖς βροτοῖς τὰ τῶν θεῶν ἀπόρρητα. τοῦτο γάρ ἐστι τὸ, ἀκόλαστον ἔσχε γλῶτταν, καὶ τῆς ἀμβροσίας μεταδιδούς. ἕτεροι δὲ λέγουσιν ἐν ἅδου τοῦτον κολάζεσθαι, ἱστάμενον μέσον ὕδατος ἄχρι πώγωνος, καὶ διψῶντα. ἡνίκα δὲ ἐπιχρήσῃ πιεῖν,

ἀθρόον τι, τὸ ὕδωρ ἀφίσταται, καὶ ὁ ἐν τῇ κεφαλῇ πέτρος κάτεισιν, ὡς δῆθεν πατάξων. οὐ μόνον δὲ οὗτος ἐν ἅδου κολάζεται, ἀλλὰ καὶ Σίσυφος, καὶ Τιτυὸς, καὶ Ιξίων, καὶ αἱ Δαναοῦ παῖδες.

Διὸς πεφυκὼς, ὡς λέγουσι, Τάνταλος,
Κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
Αέρι ποτᾶται, καὶ τίνει ταύτην δίκην.
Ως μὲν λέγουσιν, ὅτι θεοῖς ἄνθρωπος ὢν,
Κοινῆς τραπέζης ἀξίωμ᾽ ἔχων ἴσον,
Ακόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.
Οὗτος φυτεύει Πέλοπα, τοῦ δ᾽ Ατρεὺς ἔφυ
Ωι στέμματα ξήνασ᾽, ἐπέκλωσεν θεὰ
Εριν, Θυέστῃ πόλεμον ὄντι συγγόνῳ
Θέσθαι. τί τ᾽ ἄρρητ᾽ ἀναμετρήσασθαί με δεῖ;

Ex Ioue natus, vt dicunt, Tantalus,
Timens ſaxum, quod ſupra caput eius imminet,
Pendens in aere, & luit hanc pœnam,
Sicut dicunt, quòd cùm eſſet homo cum diis
Habens æqualem dignitatem communis menſæ,
Habuit effrenem linguam, turpiſſimum morbum.
Iſte genuit Pelopem, ex hoc Atreus natus eſt:
Cui dans coronam, deſtinauit Dea
Diſcordiam, vt bellum aduerſus Thyeſten fratrem
Excitaret. quid opus eſt enumerare infanda?

Διὸς πεφυκώς.) Τμώλου καὶ Πλουτοῦς υἱὸς ὁ Τάνταλος. Ταντάλου δὲ καὶ Εὐρυανάσσης, Πέλοψ, Βροτέας, Νιόβη. Πέλοπος δὲ καὶ Ιπποδαμείας, Ατρεὺς, Θυέστης, Δίας, Κυνόσουρος, Κορινθιος, Ιππαλμος, Ιππασος, Κλέων, Αργεῖος, Αλκάθους, Αἴλιος, Πιτθεὺς, Τροίζην, Νικόππη, Λυσιδίκη, καὶ ἔκ τινος Αξιόχης νόθος Χρύσιππος. τούτῳ φθονήσαντες οἱ Πελοπίδαι, ὡς προκρινομένῳ παρὰ τῷ πατρὶ, ἀναπείθουσιν ἅμα τῇ μητρὶ τοὺς πρεσβυτάτους Ατρέα καὶ Θυέστην, ἀνελεῖν τὸν παῖδα. οἱ δὲ ἀποκτείναντες, εἰς φρέαρ ἐνέβαλον. ὁ δὲ Πέλοψ ὑπόπτους ἔχων τοὺς παῖδας, ἐκβάλλει τῆς πατρίδος ἐπαρασάμενος. τούτων ἄλλοι μὲν ἄλλῃ ᾤκησαν, Ατρεὺς δὲ καὶ Θυέστης ἐν τῇ Τριφυλίᾳ κατῴκησαν ἐν Μακίστῳ. καὶ Ατρεὺς μὲν Κλεόλαν τὴν Δίαντος ἀγαγόμενος, ἔσχε Πλεισθένη, τὸ σῶμα ἀσθενῆ. ὃς Ερίφυλην γήμας, ἔσχεν Αγαμέμνονα καὶ Μενέλαον, καὶ Αναξιβίαν. νέος δὲ τελευτῶν ὁ Πλεισθένης, καταλείπει τῷ πατρὶ τοὺς παῖδας. Θυέστης δὲ Λαοδάμειαν, Αγλαὸν, Κάλαιον. τῶν δὲ Ηρακλειδῶν κατασχόντων Πελοπόννησον, ἔχρησεν ὁ θεὸς αὐτοῖς μὲν ἀποστῆναι Λακεδαίμονος, τοὺς δὲ Πελοπίδας βασιλεῦσαι. Αέρι ποτᾶται) ἐπεὶ διὰ γλωσσαλγίας ἥμαρτεν ὁ Τάνταλος, σιωπῇ αὐτὸν ἐκόλασεν ὁ θεός. οὔτε γὰρ ἐν οὐρανῷ αὐτὸν τιμωρεῖται, ἵνα μὴ συνδιαλέγηται τοῖς θεοῖς, ἢ λαλούντων ἀκούῃ. οὔτε ἐπὶ γῆς, ὅπως μὴ ἐξείποι τοῖς ἀνθρώποις ἅ τινα εἶδεν ἐν τῷ οὐρανῷ, οὔτε καθ᾽ ἅδου, ἵνα μὴ καὶ ἄλλους ὁρῶν κολαζομένους ἁμαρτωλοὺς παραμυθοῖτο. ἀλλ᾽ ἐν ἀέρι μετεώρῳ, ὅπως μηδενὶ φθεγγόμενος, μᾶλλον ἀνιῷτο. Ακόλαστον] ἐπὶ ἀκολάστῳ τινὶ λόγῳ φασὶν αὐτὸν κολάζεσθαι. εἰ γὰρ μετέδωκε τῆς ἀμβροσίας κατὰ τὸν Πίνδαρον, τοῖς βροτοῖς, μᾶλλον ἂν φιλανθρωπίας παρὰ τῶν θεῶν ἐθαυμάζετο. Αἰσχίστην δὲ νόσον τὴν γλωσσαλγίαν φησὶν, ὅτι πορνεία μὲν καὶ γαστριμαργία, καὶ τὰ λοιπὰ πάθη, ἔχουσί τι καὶ τερπνόν. ἡ δὲ γλωσσαλγία, καὶ τούτου ἐστέρηται. καὶ ὅτι τὰ μὲν ἄλλα

Universidad de Deusto
Biblioteca

